# I.

## Acta et diplomata imperatorum graecorum privilegiaque mercatoribus Italiae et aliarum regionum occidentis concessa.

### I. (6697—1188) mense decembri ind. I.

*Imperator Isaacius Angelus litteris ad Balduinum Guercium datis profitetur se non abhorrere a renovandis antiquis Ianuae privilegiis.*

† Ἰσαάκιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεύς, θεοστεφὴς ἄναξ, κραταιός, ὑψηλός, ἀεὶ αὔγουστος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Ἄγγελος τῷ λιζίῳ τῆς βασιλείας μου Βαλδουίνῳ Γέρτζῳ τὴν χάριν αὐτοῦ. τὸ σταλὲν γράμμα σου διεκομίσθη τῇ βασιλείᾳ μου καὶ ὑπανεγνώσθη αὐτῇ, δι' οὗ καὶ παρεδήλωσας τῇ βασιλείᾳ μου, ὡς δῆθεν ὑπεραπολογούμενος ἑαυτοῦ χάριν τῶν κατὰ σοῦ ἀνενεχθέντων τῇ βασιλείᾳ μου, ὅσα δῆτα καὶ παρεδήλωσας. καὶ γράφει σοι ἡ βασιλεία μου, ὡς οὐδέποτε τοιαῦτα ἤλπισεν εἰς ἀκοὰς αὐτῆς ἐλθεῖν περὶ σοῦ, ἀλλὰ καὶ μᾶλλον ὑπεραποθνήσκειν σε τῆς τιμῆς τοῦ στέμματος αὐτῆς προσήκει, δι' ἃ τε μυριάκις καὶ σὺ καὶ ἅπαν τὸ γένος σου ἀπὸ τῆς Ῥωμανίας ἐσχήκατε ἀγαθὸν καὶ διὰ τὸ ἀγαθὸν θέλημα καὶ τὴν εὐμένειαν, ἣν πρός σὲ καὶ τοὺς συγγενεῖς σου καὶ αὐτὴ ἡ βασιλεία μου ἐνεδείξατο· ὅμως ἐπεὶ μέλλεις, ὡς ἀνέμαθεν ἡ βασιλεία μου, καταλαβεῖν πρὸς αὐτήν, τηνικαῦτα τῶν παρά σου λεγομένων ἡ βασιλεία μου ἀκροά[σεται, καὶ] δεκτὸν ἂν ἔσται αὐτῇ, εἰ δικαιωθῇς ἐν τοῖς λόγοις σου. [καὶ] ἐδήλου τὸ τοιοῦτόν σου γράμμα καὶ περὶ τῶν Γεννουΐτων, ὅτι γογγίζουσι, [ἐκ τῆς Ῥωμανίας] ὑποστρέψαι τὸν ἀποκρισιάριον αὐτῶν, καὶ τοῦτο οὐκ ἐξ αἰτίας τῆς βασιλείας μου· ἠδύναντο γὰρ καὶ οὗτοι τὴν χάριν ἀπεντεῦθεν τῆς βασιλείας μου σχεῖν καὶ τῆς ἐν τῇ Ῥωμανίᾳ ἀδείας καὶ πάλιν ἐπαπολαύειν, εἴπερ μὴ εἰς ἄλλα καὶ ἄλλα φορτικὰ ἐχώρουν ζητήματα. τέως δ' οὖν καὶ πάλιν ἡ βασιλεία μου

οὐκ ἀποπέμπεται τούτους θελήσαντας ἀποσχέσθαι τῶν τοιούτων ζητημάτων καὶ αἱρετισαμένους ἀνακαινίσαι τὰς πρὸς τὴν βασιλείαν μου καὶ τὴν Ῥωμανίαν προτέρας συμφωνίας αὐτῶν καὶ τῇ πρὸς τὴν βασιλείαν μου καὶ τὴν Ῥωμανίαν πίστει καὶ δουλείᾳ στοιχεῖν. ὅτι δὲ ὁ εὐγενέστατος ἀδελφὸς τῆς βασιλείας μου ὁ Ἀλαμανίας καὶ οἱ εὐγενέστατοι ῥῆγες, ὅ τε τῆς Φραγγίας καὶ τῆς Ἰγγλινίας, μέλλουσι κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τα[ξιδεῦσαι] ἀπὸ τῶν χωρῶν αὐτῶν καὶ ἔρχεσθαι εἰς ἐκδίκησιν τῶν ἐν Ἱεροσολύμοις ἁγίων τόπων, τοῦτο πρὸ πολλοῦ ἀνέμαθεν ἡ βασιλεία μου καὶ ἀπὸ γραφῶν καὶ ἀπὸ ἀποκρισιαρίων αὐτῶν, καὶ ἔστειλε καὶ ἡ βασιλεία μου πρὸς αὐτοὺς καὶ ἄλλους μὲν ἀνθρώπους αὐτῆς, ἀλλὰ δὴ καὶ τὸν πανσέβαστον σεβαστὸν οἰκεῖον αὐτῇ λογοθέτην τοῦ δρόμου κῦρ Ἰωάννην τὸν Δούκαν, ὥστε οἰκονομῆσαι τὰ περὶ τῆς διὰ τῆς χώρας τῆς βασιλείας μου διελεύσεως αὐτῶν καὶ τὰ λοιπὰ τὰ δοκοῦντα αὐτῇ. ἀπεδέξατο δὲ καὶ σὲ, ὅτι καὶ περὶ τούτου καὶ περὶ τῶν ἄλλων ὧν ἔγραψας τῇ βασιλείᾳ μου, παρεδήλωσας αὐτῇ ὡς πιστὸς αὐτῆς, καὶ πάλιν δὲ μὴ κατοκνήσῃς ἐν τῷ μεταξὺ παραδηλοῦν τῇ βασιλείᾳ μου περὶ ὧν ἐπιγνῷς ἀναγκαῖον εἶναι μαθεῖν †.

† Μηνὶ δεκεβρίῳ ἰνδ. ζ' †.

Βασιλικὸν πρὸς τὸν πιστότατον λίζιον τῆς βασιλείας μου τὸν Βαλδουῖνον Γέρτζον.

*Orig. charta bombycina: tabularii Taurinensis.*

## II. (6700—1191) mense octobri ind. X.

*Imperator Isaacius Angelus profitetur se non alienum esse a renovandis Ianuensium privilegiis.*

† Συνετώτατε ἐξουσιαστὰ τοῦ κάστρου Γενούας Μανεγόλδε καὶ ὑμεῖς, φρονιμώτατοι κόνσουλοι τοῦ τοιούτου κάστρου. ἡ μετὰ τοῦ ὁμογενοῦς ὑμῶν Τάντου σταλεῖσα τῇ βασιλείᾳ μου γραφὴ ὑμῶν διεκομίσθη καὶ ἀνεγνώσθη αὐτῇ. καὶ ἀπεδέξατο ἡ βασιλεία μου τὸν ἐπὶ τῇ ἀπὸ τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας πολυημέρῳ ἤδη ἀποπλανήσει μετάμελον ὑμῶν, καὶ τὴν ἐπιστροφὴν ἐπῄνεσε, καὶ ἑτοίμη ἦν ὅλαις ταῖς ἀγκάλαις αὐτῆς ὑπαντιάσαι ὑμῖν καὶ ἀσμένως εἰσδέξα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΒΙΒΛΙΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΩΝ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.ΥΓ.Α. της Κ. τ. Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

σθαι, καὶ εἴ γε ἀπὸ τοῦ ὑμετέρου γράμματος ἐφειμένον ἦν τῷ τοιούτῳ Γάντῳ καὶ περὶ τῶν ζητουμένων παρ' ὑμῶν τῇ βασιλείᾳ μου ἀνενεγκεῖν καὶ πέρας τοῖς συμφωνηθησομένοις ἐπιθεῖναι καὶ παρ' ὑμῶν στεργχθησόμενον τάχ' ἂν καὶ ἐντυχεῖν αὐτῇ τοῦτον, ἡ βασιλεία μου κατηξίωσε καὶ περὶ τῶν θελητῶν ὑμῖν ἀνενεγκεῖν αὐτῇ. ὅτι δὲ μὴ τοῦτο ἐνδεδομένον ἔχειν αὐτὸν ἀπὸ τῆς πρὸς τὴν βασιλείαν μου ὑμετέρας γραφῆς κατενοεῖτο, διὰ τοῦτο οὐδὲ εἰς λόγους περὶ συμφωνιῶν ἐλθεῖν τούτῳ τὴν αὐλὴν τῆς βασιλείας μου ἡ βασιλειά μου κατένευσε, καὶ ἔξεστι τῇ ὑμετέρᾳ φρονήσει ἀποκρισιαρίους πρὸς τὴν βασιλείαν μου στείλας, τὸ ἐνδύναμον τοῖς συμφωνηθησομένοις μεταξὺ τῆς αὐλῆς τῆς βασιλείας μου καὶ αὐτῶν παρασχεῖν δυναμένους, ὡς καὶ παρὰ τῆς ὑμετέρας φρονήσεως στεργχθησομένοις καὶ οὕτω καὶ τὴν βασιλείαν μου εὑρεῖν κατανεύουσαν εἰς ἀκρόασιν τῶν παρ' αὐτῶν ἀναγγελθησομένων αὐτῇ, ὅτε πάντως καὶ ἡ περὶ τοῦ φρονιμωτάτου Βαλδουίνου Γέρτζου ἀξίωσις ὑμῶν χώραν ἕξει εἰς τὸ περατωθῆναι παρὰ τῆς βασιλείας μου ἀκολούθως τῷ περὶ τῆς τοῦ παντὸς πληρώματος τῆς Γενούας συμφωνίας συμπεράματι †. † Μηνὶ ὀκτωβρίῳ ἰνδ. ι' †.

† Βασιλικὸν εἰς τὸν συνετώτατον ἐξουσιαστὴν τοῦ κάστρου Γενούας Μανετόλδον καὶ τοὺς φρονιμωτάτους κουνσούλους †.

*Orig. charta bombycina; tabularii Taurinensis.*

## III. 6700—(1192) mense februario ind. X.

*Imperator Isaacius Angelus confirmat foedera ab Alexio et Manuele Comnenis cum republica Pisanorum facta.*

† Περικέκοπται μὲν ἤδη ἐξότου ὁ τύραννος ἐκεῖνος Ἀνδρόνικος τῇ τῶν Ῥωμαίων ἀρχῇ ἐπ[εισέφ]ρησε καὶ μέχρι τοῦ νῦν ἡ πρὸς τὴν καθ' ἡμᾶς τῶν Ῥωμαίων βασιλείαν πίστ[ις] καὶ εὔνοια τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης, καὶ εἰ μή γε τὸ ἐπιεικὲς καὶ ἱλαρὸν τῆς βασιλείας μου καὶ τὸ πρὸς χριστιανικῶν αἱμάτων χύσεις βραδὺ καὶ ἀπρόθυμον ἐγγύθεν ὑπὸ θεοῦ [κατασταθὲν] καὶ εἰς τὸ τῆς βασιλείας [ἀξίωμα] ἀνυψωθὲν ἐμποδὼν ἐγεγόνει τῷ πράγματι, τάχ' ἂν καὶ εἰς ἐχθροὺς οἱ χθὲς τῇ Ῥωμανίᾳ εὐνούσ[τατοι] γεγόνασι, καὶ ἀντὶ φίλων καὶ χορηγῶν τῶν χρησίμων καὶ κατὰ καιροὺς



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΚΑΙ ΘΕΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.ΠΑ.Τ.Τ.Κ. ΙΩΑΝΝΙΝΑ 2006

πιστοτάτων συμμάχων εἰς πο[λεμί]ους καὶ λῃστὰς μετετάξαντο. ὅπερ καὶ ἐκ μέρους κατεπράχθη, καὶ ζημίαι ἔκ τινων Πισσαίων Ῥωμαίοις τισὶ καὶ Πισσαίοις αὖθις ἐκ τοῦ μέρους τῶν Ῥωμαίων γεγόνασι, καὶ πολὺς χρόνος τὰ πρὸ μακροῦ συνηνωμένα διέσχε καὶ διεχώρισε, δι' ἃ δὴ καὶ ὁ τῆς Πισσαίων ἐξουσιαστὴς Τεδίτζιος ὁ υἱὸς τοῦ κόμητος Οὐγουλίνου καὶ οἱ σύμβουλοι καὶ τὸ κοινὸν αὐτ[ῆς] πρεσβευτικὰς χεῖρας πρὸς τὴν βασιλείαν μου ἀνατεῖναι ἠθέλησαν, καὶ τοὺς συνετωτάτους συμπολίτας αὐτῶν, τόν τε Ῥαϊνέρην Γαϊτάνον καὶ τὸν κριτὴν Σιγέριον, πρὸς τὴν βασιλείαν μου ἐξαπέστειλαν, τῶν τε προγεγονυιῶν τοῖς Πισ[σαίοις καὶ τῷ] κοινῷ αὐτῶν ζημιῶν ἀπὸ τοῦ μέρους τῆς Ῥωμανίας θεραπείαν ἐπιζητοῦντες καὶ [τὴν πρὸς] τὸ κάστρον [καὶ τὴν χώραν αὐτῶν] προλαβοῦσαν εὐμένειαν τῆς [τοῦ κ]ράτους ἡμῶν γαληνότητος λι[παρῶς ἀναζη]τούμενοι. καὶ ἡ βασιλεία μου εὐμενῶς [αὐτοὺς προσδεξαμένη] καὶ τῶν λεγομένων παρ' αὐτῶν ἀκροασαμένη, ἀνταναμνήσασα δὲ καὶ αὐτὴ τούτους τῶν ἐκ τοῦ μέρους τῆς Πίσσης ἐπιτριβεισῶν τισι τῆς Ῥωμανίας μέρεσι ζημιῶν καὶ ἀντιθεραπευθῆναι ταύτας παρ' αὐτῶν τῇ Ῥωμανίᾳ ἀνταπαιτήσασα, τέλος ἐκ παρακλήσεως τῶν δηλωθέντων ἀποκρισιαρίων ἀμνηστίαν μὲν αὐτὴ τούτοις τῶν ἐξότου ἡ τοῦ τυράννου ἐπέλευσις γέγονε καὶ μέχρι καὶ νῦν φθασάντων γενέσθαι κατένευσεν, ἀμνημονῆσαι δὲ καὶ αὐτοὺς τῶν ὅσας παλαιτέρας ὑποθέσεις μέχρι καὶ νῦν ἔκ τινων αἰτιῶν εὐλόγως ἢ καὶ ἀνευλόγως ὑποτεινομένας εἶχον ἀπῄτησε. καὶ ἐπεὶ καὶ οὗτοι τῇ τῆς βασιλείας μου κατανεύσει ἀντιτεῖναι ὅλως οὐ προσέθεντο, μετὰ πολλῆς δὲ τῆς εὐχαριστίας ταύτην ὑποδεξάμενοι ἐνόρκως καὶ αὐτοὶ τὴν βασιλείαν μου ἐπληροφόρησαν περί τε τοῦ ἀμνημονῆσαι εἰς τὸ διηνεκὲς τὸ κάστρον καὶ τὴν χώραν τῆς Πίσσης τῶν φθασάντων μέχρι καὶ νῦν γενέσθαι ἐπί τισι Πισσαίοις παρὰ Ῥωμαίων ζημιωμάτων, κἂν ὅσα ἂν καὶ οἷα ὦσι, περί τε τῆς εἰς τὸ μέλλον πρὸς τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν πίστεως καὶ δουλείας αὐτῶν, ἐπὶ πλέον τούτους ἀποδεξαμένη ἡ βασιλεία μου τῆς μετὰ πολλοῦ τοῦ δυσωπητικοῦ καὶ ὑποπεπτωκότος σχήματος πρὸς αὐτὴν αὐτῶν παρακλήσεως οὐ μόνον τοὺς ἐποίκους τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης εἰς τὰ προαπονενεμημένα αὐτοῖς ἐν τῇ Ῥωμανίᾳ δίκαια ἀποκαταστῆσαι ηὐδόκησεν. ἀλλὰ κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν

ἐπὶ ὀλίγα πιστοὺς εὑροῦσα ἐπὶ πλειόνων κατέστησε. καὶ εἰς δήλωσιν τῶν παρ' αὐτῶν τῇ βασιλείᾳ μου καὶ τοῖς κληρονόμοις καὶ διαδόχοις αὐτῆς καὶ τοῖς Ῥωμαίοις αἰωνίως ὑπεσχημένων καὶ τῶν παρὰ τῆς βασιλείας μου ὡσαύτως ἐπιβραβευθέντων αὐτοῖς τὸν παρόντα χρυσόβουλλον λόγον αὐτοῖς ἐπεβράβευσε, περιέχοντα κατὰ ῥῆμα τά τε παρ' αὐτῶν ἄρτι συμφωνηθέντα καὶ ἐν ὑπογράφῳ αὐτῶν ἐγγράφῳ διὰ λατινικῶν γραμμάτων διαληφθέντα καὶ σωματικῷ αὐτῶν ὅρκῳ βεβαιωθέντα, καὶ τοὺς προγεγονότας τῷ πληρώματι Πίσσης χρυσοβούλλους λόγους τῶν τε ἀοιδίμων βασιλέων, τοῦ τε προπάππου τῆς βασιλείας μου, κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ τοῦ περιποθήτου θείου τῆς βασιλείας μου, κυροῦ Μανουήλ, οἷς ἀνατάττονται τά τε παρὰ τῶν Πισσαίων τότε συμφωνηθέντα, τά τε παρὰ τοῦ μέρους τῆς Ῥωμανίας φιλοτιμηθέντα αὐτοῖς. καὶ ἔχει ἡ μὲν παρὰ τῶν διαληφθέντων ἀποκρισιαρίων Πίσσης γεγονυῖα πρὸς τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν ἔγγραφος συμφωνία καὶ ὁ ἐπὶ ταύτῃ ὅρκος αὐτῶν οὕτως· ἡμεῖς οἱ ἀποκρισιάριοι τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης, ὅ τε Ῥαϊνέρης Γαϊτάνος καὶ ὁ κριτὴς Σιγέριος, ἀποσταλέντες παρὰ Τεδιτζίου τοῦ ἐξουσιαστοῦ τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης τοῦ υἱοῦ τοῦ κόμητος Οὐγουλίνου καὶ τῶν συμβούλων καὶ τῆς κοινότητος αὐτῆς πρὸς τὸν ὑψηλότατον βασιλέα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον, κῦριν Ἰσαάκιον τὸν Ἄγγελον, καὶ ἐνδεδομένον ἔχοντες παρ' αὐτῶν ζητῆσαι ἀπὸ τοῦ βασιλέως καὶ τῆς Ῥωμανίας τά τε προεκδανεισθέντα χρήματα παρά τινων Πισσαίων τῷ τῆς κακῆς μνήμης ἐκείνῳ Ἀνδρονίκῳ, ὁπηνίκα ἔτι τοῦ ἁγιωτάτου βασιλέως κυροῦ Μανουὴλ τῷ βίῳ περιόντος ὁ δηλωθεὶς κῦρις Ἀνδρόνικος τοῖς Ἱεροσολύμοις ἐπεχωρίαζεν, ἀλλὰ δὴ καὶ τὰ παρὰ τῶν ἑτέρων Πισσαίων, τοῦ τε Τεδίσκου, τοῦ Συμεὼν Τζιμικούζου καὶ τοῦ Γηράρδου τοῦ Δαντούνη καὶ τῶν λοιπῶν ἐκδανεισθέντα τῷ περιποθήτῳ αὐταδέλφῳ τοῦ κυρίου βασιλέως Ῥωμαίων καὶ ἀεὶ αὐγούστου κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου, τῷ πανευτυχεστάτῳ σεβαστοκράτορι κυρῷ Ἀλεξίῳ τῷ Ἀγγέλῳ, ὁπηνίκα παρὰ τοῦ κόμητος Τριπόλεως κατεχόμενος ἦν, ἔτι γε μὴν καὶ τὰ παρὰ τῶν ἀνθρώπων τῆς ἁγίας αὐτοῦ βασιλείας, τοῦ τε πρωτοπανεντιμοϋπερτάτου μεγάλου λογοθέτου ἐκείνου καὶ τοῦ σεβαστοῦ ἐκείνου τοῦ Χούμνου καὶ ἑτέρων ἀποιχομένων τε καὶ περιόν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

των ἐπιτριβείσας ζημίας τοῖς Πισσαίοις, ἐξότου ὁ δηλωθεὶς κῦρις Ἀνδρόνικος τῇ τῶν Ῥωμαίων βασιλείᾳ ἐπεισέφρησε καὶ μέχρι καὶ νῦν, ἀλλὰ καὶ τὰ μὴ φθάσαντα δοθῆναι τῇ ἐκκλησίᾳ Πίσσης καὶ τῷ ἀρχιεπισκόπῳ ὑπὲρ χρόνων ὀκτὼ μέχρι καὶ νῦν σολέμνια καὶ τὰς εἰσόδους τοῦ ἐμβόλου αὐτῶν καὶ τῶν λοιπῶν τῶν διαφερόντων αὐτοῖς καὶ τὰ φθάσαντα ἀπαιτηθῆναι ἐξ αὐτῶν κομμέρκια, κἂν μὲν αὐτὰ ταῦτα λάβωμεν, εὐχαριστῆσαι τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ καὶ τὴν πρὸς τοὺς προγόνους αὐτοῦ βασιλεῖς, τόν τε κῦριν Ἀλέξιον τὸν Κομνηνὸν καὶ τὸν υἱὸν ἐκείνου τὸν πορφυρογέννητον κῦριν Ἰωάννην, ἀλλὰ δὴ καὶ τὴν πρὸς τὸν θεῖον τῆς ἁγίας αὐτοῦ βασιλείας κῦριν Μανουὴλ καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν διηνεκῆ καὶ αἰώνιον συμφωνίαν καὶ δουλείαν ἀνακαινίσαι καὶ δι' ὅρκου βεβαιῶσαι· ἐὰν δὲ μὴ αὐτὰ ταῦτα ἡ αὐτοῦ βασιλεία ἐκπληροῖ, ἑτέρῳ δέ τινι τρόπῳ ἀντισήκωσιν ποιῆται τῇ κοινότητι Πίσσης τὴν ἀρέσκουσαν ἡμῖν, καὶ οὕτω τὴν δηλωθεῖσαν συμφωνίαν ἐπομόσασθαι. ἐπεὶ καταλαβόντες εἰς τὴν ἁγίαν αὐτοῦ βασιλείαν καὶ ἐνώπιον αὐτῆς παραστάντες καὶ προσκυνήσαντες τῷ ἐνθέῳ ὕψει αὐτῆς καὶ τρακταΐσαντες ἱκανῶς περὶ τῶν ἐνδεδομένων ἡμῖν, τῶν μὲν παρ' ἡμῶν ζητουμένων πάντων οὐκ ἐπετύχομεν διὰ τὸ καὶ τὴν ἁγίαν αὐτοῦ βασιλείαν ἀντεπιζητεῖν ἐξ ἡμῶν τὰς παρά τινων Πισσαίων ἐπενεχθείσας τισὶ ῥωμαϊκαῖς χώραις καὶ διαφόροις Ῥωμαίοις κατά τε γῆν καὶ θάλασσαν ζημίας, ἐπιεικείᾳ δὲ καὶ μεγαλοπρεπείᾳ βασιλικῇ κατένευσεν ἡ ἁγία αὐτοῦ βασιλεία, ἀντὶ πάντων τῶν παρ' ἡμῶν ζητουμένων καὶ ἀνωτέρω ἀναταχθέντων, ἄνευ τοῦ πρὸς τὸν σεβαστοκράτορα δάνους, ὡς τῶν δανειστῶν ἐπιρριψάντων ἑαυτοὺς εἰς τὸ ἔλεος τοῦ ἐνθέου κράτους αὐτῆς, συναινέσει καὶ ἡμῶν εἰς τὸ ἐπιδοῦναι τῇ κοινότητι Πίσσης τὰ ἀπὸ δωρεῶν τῶν ἀοιδίμων βασιλέων, τοῦ τε κυροῦ Ἀλεξίου καὶ τοῦ κυροῦ Μανουὴλ προκατεχόμενα παρ' ἡμῶν ἐν τῇ Μεγαλοπόλει, τόν τε ἔμβολον δηλαδή, τὴν ἐκκλησίαν σὺν τῇ ἀνεγερθείσῃ παρὰ τῶν ὁμοφύλων ἡμῶν ἑτέρᾳ ἐκκλησίᾳ ἐντὸς τῶν συνόρων ἡμῶν καὶ τὴν παράλιον σκάλαν, ἐπέκεινα δὲ τούτων ἐπιβραβεῦσαι τῷ κάστρῳ ἡμῶν καὶ τὰ ἐν τῷ γενησομένῳ πρὸς ἡμᾶς πρακτικῷ τῆς παραδόσεως ἐπέκεινα τῶν προπαραδεδομένων δηλωθησόμενα, ὃ δὴ πρακτικὸν σὺν τῷ γενησομένῳ ἡμῖν βασιλικῷ προσκυνητῷ χρυσοβούλλῳ τοῖς σεκρέτοις καταστρωθήσεται, ἀνανεῶσαι δὲ ἀπὸ τοῦ

παρόντος καιροῦ καὶ τὴν τοῦ σολεμνίου πρὸς τὴν ἡμετέραν ἐκκλησίαν δόσιν τῶν πεντακοσίων δηλαδὴ ὑπερπύρων καὶ τῶν δύο βλαττίων, προσθεῖναι δὲ αὐτῇ καὶ ἕτερα ὑπέρπυρα ἑκατὸν καὶ τὴν πρὸς τὸν τιμιώτατον ἀρχιεπίσκοπον Πίσσης, τὰ ἑξήκοντα καθ' ἕκαστον ἔτος ὑπέρπυρα καὶ τὸ ἓν βλαττίον, ἐπέκεινα δὲ τούτων καὶ εἰς πρόσωπον τοῦ νῦν ἀρχιεπισκόπου Πίσσης αὐξῆσαι ἕτερα ὑπέρπυρα τεσσαράκοντα, ἀποχαρίσασθαι δὲ τοῖς Πισσαίοις καὶ ἐπὶ τοῖς ἀπὸ τῆς Ῥωμανίας ἐξωνουμένοις παρ' αὐτῶν καὶ διαπιπρασκομένοις ἔν τε τῇ Μεγαλοπόλει καὶ ταῖς λοιπαῖς χώραις τῆς Ῥωμανίας ἐξκουσσείαν κομμερκίου, ὁποία ἐδωρήθη αὐτοῖς ἐν τῷ γεγονότι αὐτοῖς χρυσοβούλλῳ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου ἐπὶ τοῖς ἀπὸ τῶν χωρῶν τῶν μὴ ὑποκειμένων τῇ δουλώσει τῆς βασιλείας τῶν Ῥωμαίων εἰσαγομένοις παρ' αὐτῶν εἰς τὴν Μεγαλόπολιν, κἂν ἀπὸ τοῦ τοιούτου χρυσοβούλλου ὀφείλειν κομμερκεύεσθαι αὐτοὺς ἐπὶ τοῖς τοιούτοις καθὰ οἱ Ῥωμαῖοι ἀναφαίνηται, ἐνδοῦναι δὲ ἡμῖν καὶ ἐνάγειν κατὰ νόμους κατά τινων περιόντων ἀνθρώπων τῆς ἁγίας αὐτοῦ βασιλείας καὶ δημοσιακὰς δουλείας ἐνεργησάντων καί τινας ἀδικησάντων Πισσαίους. διὰ τὸ ἐπιζητεῖν μὲν ἡμᾶς ἀπὸ τοῦ βασιλικοῦ βεστιαρίου τὰς προτριβείσας τισὶ Πισσαίοις ζημίας παρὰ τῶν ἀνθρώπων τῆς ἁγίας αὐτοῦ βασιλείας, μὴ εἰσακουσθῆναι δὲ διὰ τὸ μὴ εὑρίσκεσθαι τοὺς ἐναγουμένους, κἀντεῦθεν εἰς ἄδηλον τὰς ὑποθέσεις περιίστασθαι καὶ διὰ τοῦτο ἀποστῆναι τούτων ἑκόντας δίχα βίας τινὸς διὰ τὴν γενομένην, ὡς ἀνωτέρω δεδήλωται, ἀντισήκωσιν τοῖς ἐποίκοις πᾶσι τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης· ἠρέσθημεν τῇ τοιαύτῃ πρὸς τὴν χώραν ἡμῶν μεγαλοδώρῳ φιλοτιμίᾳ τοῦ αἰθριωτάτου καὶ ἀεὶ αὐγούστου βασιλέως κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου καὶ ἀμνηστίαν καταψηφισάμενοι τῶν παρ' ἡμῶν ζητηθέντων πάντων, ὡς εἴρηται, καὶ ἀνωτέρω ἀνατα χθέντων διὰ τὸ καὶ τὴν ἁγίαν αὐτοῦ βασιλείαν κατανεῦσαι πρὸς ἡμᾶς ἀμνημονῆσαι τῶν μέχρι καὶ νῦν γεγονυιῶν ζημιῶν πρὸς ἀνθρώπους τῆς Ῥωμανίας, ἰδοὺ διὰ τοῦ παρόντος ἡμῶν ἐγγράφου βεβαιωθῆναι ὀφείλοντος καὶ σωματικῷ ὅρκῳ ἡμῶν καὶ ταῖς οἰκειοχείροις ὑπογραφαῖς καὶ ταῖς σφραγῖσι τῶν ἐν τῇ Μεγαλοπόλει Πισσαϊκῶν ἐκκλησιῶν, τοῦ τε κορυφαίου ἀποστόλου Πέτρου καὶ τοῦ ἁγίου Νικολάου, συμφωνοῦμεν πρὸς τὴν βασιλείαν αὐτοῦ καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν, ἵνα φυλάττῃ τὸ κάστρον

Ε.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἡ χώρα τῆς Πίσσης καὶ αὐτὸς ὁ ἐξουσιαστὴς καὶ οἱ κατὰ καιροὺς σενάτωρες ἢ σύμβουλοι ἢ κόνσουλοι ἢ ἐξουσιασταὶ καὶ αἱ κεφαλαὶ καὶ οἱ ῥαίκτωρες καὶ αὐτὸ τὸ κοινὸν τῆς Πίσσης τὰ πρὸς τοὺς πολλάκις διαληφθέντας ἀοιδίμους βασιλεῖς, τόν τε κῦριν Ἀλέξιον τὸν Κομνηνὸν καὶ τὸν υἱὸν ἐκείνου τὸν πορφυρογέννητον κῦριν Ἰωάννην, ἀλλὰ δὴ καὶ τὸν θεῖον τῆς βασιλείας αὐτοῦ, τὸν κῦριν Μανουήλ, συμφωνηθέντα· καὶ ταῦτα πάντα ἵνα ὀμόσῃ καὶ αὐτὸς ὁ ἐξουσιαστὴς καὶ οἱ πρόκριτοι καὶ τὸ κοινὸν τῆς Πίσσης, ἀνακαινίζωσι δὲ καὶ καθ' ἕκαστον ἐνιαυτὸν τὸν τοιοῦτον ὅρκον, καθὰ ἰδικῶς περὶ τοῦ τοιούτου κεφαλαίου ἔφθασε συμφωνηθῆναι παρὰ τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν πρὸς τὸν ἀοίδιμον βασιλέα κῦριν Μανουήλ. ὁ δὲ ἐπὶ τούτοις ὅρκος αὐτῶν ἔχει οὕτως· ἡμεῖς οἱ ἀποκρισιάριοι τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης, ὅ τε Ῥαϊνέρης Γαϊτάνος καὶ ὁ κριτὴς Σιγέριος, σταλέντες πρὸς τὸν ὑψηλότατον αὐτοκράτορα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον Ἰσαάκιον τὸν Ἄγγελον παρὰ Τεδιτζίου τοῦ ἐξουσιαστοῦ Πίσσης τοῦ υἱοῦ τοῦ κόμητος Οὐγουλίνου ἀπὸ κοινῆς βουλῆς τοῦ κάστρου Πίσσης μετὰ πολὺν τρακταϊσμὸν ἀποστάντες ὧν ἐζητοῦμεν κατ' ἐπιτροπὴν τοῦ ῥηθέντος ἐξουσιαστοῦ καὶ τῆς κοινῆς βουλῆς τοῦ κάστρου ὑπὲρ τοῦ κοινοῦ καὶ ἰδικῶν τινων προσώπων τῶν καὶ ἐν τῷ ἐγγράφῳ τῷ παρ' ἡμῶν ὑπογραφέντι περιεχομένων, ὡς τὴν ὑπὲρ τούτων ἀντισήκωσιν ἀρέσκουσαν ἡμῖν λαβόντες, καθ' ὃ εἴχομεν ἐνδόσιμον περὶ τῆς ἀρεσκείας ἡμῶν ἀπὸ τοῦ ἐξουσιαστοῦ καὶ τῆς τοῦ κάστρου βουλῆς, ὀμνύομεν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ὡς ὁ ῥηθεὶς ἐξουσιαστὴς κοινῆς βουλῆς τοῦ κάστρου περὶ τούτων γενομένης ἐνδέδωκεν ἡμῖν ὀμόσαι ἐπάνω τῆς ψυχῆς αὐτοῦ τὴν παρὰ τοῦ Πισσαϊκοῦ κάστρου καὶ τῆς χώρας Πίσσης γενομένην συμφωνίαν πρὸς τὸν ἀοίδιμον βασιλέα κῦριν Μανουήλ, πρὸς τὸν αὐτοκράτορα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον κῦριν Ἰσαάκιον τὸν Ἄγγελον, καθὼς καὶ πρὸς ἐκεῖνον ὠμόθη, καὶ ὅτι ἃ ὑπὲρ τοῦ κοινοῦ καὶ τινων ἄλλων προσώπων ἐζητοῦμεν, τὰ καὶ ἐν τῷ ἐγγράφῳ τῷ παρ' ἡμῶν ὑπογραφέντι περιεχόμενα ἐξ ἐνδοσίμου τοῦ αὐτοῦ ἐξουσιαστοῦ καὶ τῆς βουλῆς τοῦ αὐτοῦ κάστρου εἰάσαμεν διὰ τὴν ἀντισήκωσιν τὴν πρὸς τὸ κοινὸν γενομένην, αὖθις ὀμνύομεν ἐπάνω τῆς ψυχῆς τοῦ ῥηθέντος ἐξουσιαστοῦ, ὡς ἵνα καὶ αὐτὸς τὴν δηλωθεῖσαν συμφωνίαν πληρώσῃ καὶ φυλάξῃ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΗΣ
Ε.ΥΛΑ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

καὶ αὐτὸ τὸ κοινὸν τοῦ κάστρου πρὸς τὸν βασιλέα Ῥωμαίων κῦριν Ἰσαάκιον καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν εἰς τοὺς αἰῶνας χωρὶς δόλου καὶ περινοίας, καὶ ὡς ταῦτα ὀμνύομεν μετὰ ἀγαθῆς πίστεως ἄνευ δόλου καὶ περινοίας, οὕτως ἵνα βοηθῇ ὁ θεὸς ἡμῖν καὶ τῷ ῥηθέντι ἐξουσιαστῇ καὶ αὐτῷ τῷ κοινῷ τῆς Πίσσης ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. οἱ δὲ διαληφθέντες χρυσόβουλλοι λόγοι ἔχουσι, καθὼς δηλωθήσεται. ὁ μὲν τοῦ βασιλέως δηλαδὴ κυροῦ Ἀλεξίου οὕτως· ἐπεὶ διαφόρους ἀποκρισιαρίους πρὸς τὴν βασιλείαν μου ἀπέστειλαν οἱ ἔποικοι τῆς χώρας ὑμῶν καὶ τοῦ κάστρου Πίσσης μετὰ καὶ γραφῶν αὐτῶν, καὶ ἡ βασιλεία μου πάλιν πρὸς αὐτοὺς διαφόρους γραφὰς ἐξαπέστειλεν, οὔπω δὲ ἔφθασε γενέσθαι σύμφωνον ἀπηρτισμένον τῆς ἐκείνων πρὸς τὴν βασιλείαν μου καθαρᾶς πίστεως καὶ ὑποταγῆς, οὔτε τῆς βασιλείας μου πρὸς αὐτοὺς ἔγγραφον χρυσόβουλλον σύμφωνον, τελευταῖον δὲ ἀπέστειλεν ἡ βασιλεία μου τὸν οἰκεῖον αὐτῆς ἄνθρωπον, τὸν κουροπαλάτην Βασίλειον τὸν Μεσημέρην, μετὰ καὶ γράμματος αὐτῆς, θελήσασα δέξασθαι αὐτοὺς ὡς πιστοὺς κατὰ πάντα τῆς βασιλείας μου καὶ τοῦ περιποθήτου μου υἱοῦ καὶ τῆς χώρας ἡμῶν ἁπάσης, τοῦ δὲ ἀπελθόντος καὶ τὰ γράμματα τῆς βασιλείας μου προκομίσαντος αὐτοῖς, εἰπόντος δὲ καὶ τὰ μηνύματα, διαγνόντες τὰ γραφέντα καὶ μηνυθέντα αὐτοῖς καὶ ἀποδεξάμενοι ταῦτα καὶ ὁλοσχερῶς θελήσαντες γενέσθαι πιστοὶ κατὰ πάντα τῆς βασιλείας ἡμῶν καὶ τῆς χώρας ἡμῶν, ἔγγραφον σύμφωνον ἐποίησαν διαλαμβάνον τὴν πρὸς τὴν βασιλείαν ἡμῶν καὶ τὴν Ῥωμανίαν καθαρὰν αὐτῶν πίστιν, ὃ καὶ δι' ὅρκου πάντες ὁμοίως ἐβεβαίωσαν καὶ πρὸς τὴν βασιλείαν μου δι' ὑμῶν καὶ τοῦ ἀποκρισιαρίου αὐτῆς ἐξαπέστειλαν, ὃ καὶ ῥητῶς οὕτως διαλαμβάνει· ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀμήν. ἡμεῖς πάντες οἱ ἔποικοι τοῦ κάστρου καὶ τῆς χώρας Πίσσης ὑπισχνούμεθά σοι τῷ ἁγιωτάτῳ βασιλεῖ κυρῷ Ἀλεξίῳ καὶ τῷ κυρῷ Ἰωάννῃ τῷ ἠγαπημένῳ σου υἱῷ καὶ βασιλεῖ τῷ πορφυρογεννήτῳ, ὡς ἡμεῖς ὁ ἅπας Πισσαϊκὸς λαὸς ἀπὸ τῆς τοιαύτης ὥρας καὶ ἐς τὰ ἔμπροσθεν οὐκ ἐσόμεθα ἐν βουλῇ ἢ πράξει, δι' ἧς ὑμεῖς ἀπολέσετε τὴν βασιλείαν ὑμῶν ἢ τὴν Ῥωμανίαν ἢ τὰς νήσους τῆς θαλάσσης ἢ τὰς χώρας, ἃς νῦν κρατεῖτε ὑπὸ τὴν ὑμετέραν ἐξουσίαν καὶ ἃς ἀπὸ ταύτης τῆς ὥρας καὶ ἐς τὰ ἔμπροσθεν ἐπικτήσεσθαι μέλλετε ἀπό τε

Χορβατίας, Δαλματίας καὶ τοῦ Δυρραχίου καὶ ἄχρι τῆς Ἀλεξανδρείας καὶ αὐτῆς, οὔτε ἡμεῖς οἱ τῆς χώρας καὶ τοῦ κάστρου τῆς Πίσσης ἔποικοι συμφωνήσομεν μετά τινος προσώπου ἢ λαοῦ ἐχθραινομένου τῇ ὑμετέρᾳ βασιλείᾳ πρὸς τὸ ἀφελεῖν ταῦτα ἀφ' ὑμῶν καὶ τῆς Ῥωμανίας, καὶ ἐάν τινες ἐκ τῶν ἐνοίκων τῆς χώρας καὶ τῶν ἀνθρώπων ἡμῶν ζημίαν ποιήσωσι τῇ βασιλείᾳ ὑμῶν καὶ εἰς Ῥωμανίαν ὦσι καὶ ζητηθῶσι παρὰ τῆς βασιλείας ὑμῶν ἀπ' αὐτῶν, ἵνα διορθώσωνται τὴν ζημίαν δικαίως καὶ συμβιβαστικῶς, καὶ ἐὰν εἰς Ῥωμανίαν οὐχ ὑπάρχωσι καὶ εἰς Πίσσαν ὑποστρέψωσι, καὶ ἡμῖν τοῦτο γνωστὸν γένηται, εἰ μὲν ἔχουσι κληρονόμους εἰς Πίσσαν, κατὰ τὴν δύναμιν τῆς ὑποστάσεως τὴν διόρθωσιν ποιήσωμεν δικαίως ἢ μετὰ συμβιβάσεως, πλὴν ὅσον καταληφθῇ ἐκ συναινέσεως καὶ λόγου τοῦ ἀποκρισιαρίου ἢ ἀποκρισιαρίων ὑμῶν· ἐὰν οὖν ἄνθρωποι ἡμῶν ὦσι ἐν τῇ χώρᾳ τῆς ὑμετέρας βασιλείας ἢ εἰς Κωνσταντινούπολιν ἢ ἐν ἑτέρᾳ χώρᾳ καὶ νήσοις τῆς βασιλείας ὑμῶν, θέλομεν καὶ βεβαιοῦμεν, ὡς ἐὰν ἐχθροὶ ὑμῶν ἐπανασοβήσωσιν ἐπὶ τῷ πολεμῆσαι ἐν ἐκείνοις τοῖς μέρεσιν, ἐν οἷς οἱ ἡμέτεροι ὑπάρχουσι, καὶ ἀναγκαῖον εἴη, ἵνα βοηθήσωσι τοῖς ἀνθρώποις [ὑμῶν], τὰς χώρας ὑμῶν ἐκδικήσομεν κατὰ παντὸς ἐχθροῦ ὑμῶν. ταῦτα πάντα τὰ ἀνωτέρω γεγραμμένα φυλάξομεν ἡμεῖς ὁ ἅπας Πισσαϊκὸς λαὸς τοῦ κάστρου καὶ τῆς χώρας Πίσσης σοί τε τῷ ἁγιωτάτῳ βασιλεῖ κυρῷ Ἀλεξίῳ καὶ τῷ περιποθήτῳ σου υἱῷ καὶ βασιλεῖ κυρῷ Ἰωάννῃ τῷ πορφυρογεννήτῳ, καθὼς ἀνωτέρω γέγραπται, ἀπαράθραυστα καὶ μετὰ ἀληθινῆς πίστεως ἄνευ δόλου καὶ κακοῦ τρόπου, ὑμῶν διὰ χρυσοβούλλων βεβαιωσάντων τὰ ἐν τῷ ὑμετέρῳ γράμματι περιεχόμενα, ἵνα φυλάξητε ταῦτα ἡμῖν. τοῦτο γέγονεν ἐν ἔτει τῆς ἐνσαρκώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ͵αρια', τεσσαρεσκαιδεκάτῃ καλανδῶν μαΐου, ἰνδικτιῶνος ιγ', ἐνώπιον τοῦ ἀρχιεπισκόπου Ἀμάλφης καὶ Μόσχου τοῦ κριτοῦ Ἀμάλφης, ἐνώπιον τῶν ὑπάτων τῆς Πίσσης. τούτων οὕτως ἐγγράφως παρ' ἐκείνων καὶ δι' ὅρκου βεβαιωθέντων παρουσίᾳ καὶ τοῦ ἀνθρώπου τῆς βασιλείας μου, τοῦ Μεσημέρη, ἐπεὶ καὶ ὑμεῖς ἀπεστάλητε παρ' ἐκείνων, ὅ τε Δίδος ὁ Κληρικὸς καὶ Γονυφίλος ὁ πρεσβύτερος, Γιράρδος ὁ Βισκοῦντος, Ἰλδεβράντος ὁ ἀδελφὸς τοῦ Ῥαϊνέρη, Ἀλφιέρης ὁ ὕπατος, Πέτρος ὁ κριτής, Βίδος ὁ υἱὸς τοῦ Βώνου Πιπίνου καὶ Ἀδιμοῦντος κουροπαλάτης ὁ υἱὸς τοῦ Ὤτου, καὶ γραφὴν ἀπεκομίσατε πρὸς τὴν βασιλείαν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... Ε.Α.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

μου, ἣν ἐκεῖνοι πάντες δι' ὑμῶν πρὸς αὐτὴν ἐξαπέστειλαν, καὶ τοῦτο διείληπτο τῇ γραφῇ ἐκείνων, ἵνα τὰ λείποντα ὑμεῖς ἀναπληρώσητε, τοῦτο ἐγγράφως καὶ ἐνόρκως καὶ διὰ τῶν ὑπογραφῶν ὑμῶν διεβεβαιώσασθε, ὡς πάντα τὰ παρ' ἐκείνων συμφωνηθέντα πρὸς τὴν βασιλείαν μου καὶ τὸν περιπόθητόν μου υἱὸν καὶ βασιλέα καὶ τὴν Ῥωμανίαν δι' ὅρκου πάντες οἱ ἔποικοι τοῦ κάστρου καὶ τῆς χώρας Πίσσης διεβεβαιώσαντο, ὡς ἵνα φυλάττωσι βέβαια καὶ ἀπαράθραυστα, ὡς νοεῖ ταῦτα ἡ βασιλεία μου εἰς ὠφέλειαν καὶ τιμὴν αὐτῆς καὶ τοῦ περιποθήτου υἱοῦ αὐτῆς καὶ τῆς χώρας τοῦ κράτους ἡμῶν μεγάλης τε καὶ μέσης καὶ ἐσχάτης. δι' ἣν οὖν ἐτυπώσατε πάντες οἱ ἔποικοι τοῦ κάστρου καὶ τῆς χώρας Πίσσης φυλάττειν πίστιν πρὸς τὴν βασιλείαν ἡμῶν καὶ τὴν Ῥωμανίαν, ἐτύπωσε καὶ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου, ἵνα διδῶνται οὐ μόνον παρ' αὐτῆς τῆς βασιλείας μου ἐν τῇ ζωῇ ταύτης, ἀλλὰ καὶ μετὰ παρέλευσιν αὐτῆς παρὰ τοῦ περιποθήτου μου υἱοῦ τοῦ πορφυρογεννήτου καὶ βασιλέως, κυροῦ Ἰωάννου, τῇ ἐπ' ὀνόματι τῆς ὑπεράγνου θεοτόκου ἐκκλησίᾳ τῆς Πίσσης καθ' ἕκαστον ἔτος νομίσματα ὑπέρπυρα τετρακόσια καὶ βλαττία δύο, τῷ θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ Πίσσης νομίσματα ὅμοια ἑξήκοντα καὶ βλαττίον ἕν, Λαμπέρτῳ τῷ κριτῇ, τῷ Καρλέτῳ καὶ τῷ Ἄθωνι νομίσματα ὅμοια ἑκατόν, καὶ μετὰ παρέλευσιν τούτων ἵνα διδῶνται πρὸς τὴν ἐκκλησίαν. κομμέρκιον εἰς τὸ εἰσαγόμενον παρ' ὑμῶν χρυσάφιον καὶ ἀσήμιον οὐ μὴ παρέχητε τὸ σύνολον, ἐφ' αἷς εἰσάγετε πραγματείαις ἀπὸ τῆς χώρας ὑμῶν καὶ ἀπὸ ἀλλοτρίων χωρῶν τῶν μὴ ὑποκειμένων τῇ δουλώσει τῆς βασιλείας μου, ἵνα παρέχητε κατὰ εἰκοσιπέντε ἓν λόγῳ κομμερκίου καὶ πλεῖον οὐδέν. σκάλα ἵνα δοθῇ ὑμῖν, ἐν ᾗ μέλλουσι καταίρειν τὰ πλοῖα ὑμῶν καὶ ὁ φόρτος ἐκβάλλεσθαι τούτων καὶ κατατόπιον τοῦ πραγματεύεσθαι ἐπιτήδειον καὶ ἐνδεχόμενον μετὰ οἰκημάτων, ἵνα ἀποτεθῆτε τὰς πραγματείας ὑμῶν καὶ καταμένητε. ὡσαύτως καὶ ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τοῦ θεοῦ, τῇ Ἁγίᾳ Σοφίᾳ, δοθήσεται ὑμῖν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου τόπος εἰς στάσιν, καὶ εἰς τὸν ἱππόδρομον ἵνα δοθῇ ὑμῖν κατατόπιον, ἔνθα μέλλετε καθῆσθαι ἐν ἡμέρᾳ ἱπποδρόμου. εἰ κουρσευθῇ πλοῖον ὑμῶν ἐν τῇ χώρᾳ τῆς βασιλείας μου καὶ ἀπολεσθῶσι τὰ πράγματα ὑμῶν ἀφαιρεθέντα παρά τινων τῶν ὑπὸ τὴν βασιλείαν μου ὄντων, ἵνα ποιῇ ὑμῖν ἡ βασιλεία

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Τ.Α. της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

μου δίκαιον καὶ διόρθωσιν εἰς ἐνδεχόμενον καιρὸν μετὰ τὸ ἐλεγχθῆναι. πλοῖον ὑμῶν εἰ ναυαγήσει ἐν τῇ ἐπικρατείᾳ τῆς βασιλείας μου, τὰ πράγματα ὑμῶν, ἃ ὑμεῖς ἐλευθεροῦτε καὶ ἐκβάλλετε, σεσωσμένα ἵνα ἔχητε ἀμερίμνως, καὶ ἃ δὲ ἐκβάλλουσιν οἱ Ῥωμαῖοι βοηθήσαντες, ἵνα ἔχητε κἀκεῖνα παρασχόντες κατὰ τὸν τύπον τοῦ τόπου πρὸς αὐτοὺς τὸν μισθόν, εἰ μὴ ἴσως ἑκουσίως μέσον ὑμῶν κἀκείνων ἕτερόν τι συμφωνηθῇ. τὰς πραγματείας ὑμῶν, ἃς φέρετε ἀπὸ τῆς χώρας ὑμῶν καὶ ἀπ᾽ ἀλλοτρίων χωρῶν τῶν μὴ ὑποκειμένων τῇ βασιλείᾳ ἡμῶν μετὰ τὸ ἐλθεῖν ὑμᾶς πρὸς τὴν βασιλείαν ἡμῶν, εἴτε εἰς Κωνσταντινούπολιν, εἴτε εἰς τὰς νήσους τῆς βασιλείας ἡμῶν, ἵνα ἔχητε ἐπ᾽ ἀδείας ἐκβάλλειν καὶ πωλεῖν ἐν ᾧ ἀπληκεύετε τόπῳ ἐκεῖσέ τε καὶ ἀλλαχοῦ μέσον τῆς ἐπικρατείας τῆς βασιλείας ἡμῶν, πρὸς οὓς ἂν βούλησθε μηδενὸς ἑτέρου μέρους [ἢ τρόπου] ἐπιτάξαντος ὑμῖν κατὰ τοῦ θελήματος ὑμῶν ἔν τε τῇ πράσει καὶ τῇ μεταποιήσει χωρὶς τῶν ἐχθρῶν τῆς βασιλείας μου, καὶ ἵνα παρέχητε καὶ ἐπὶ τούτοις κομμέρκιον ὡς ἀνωτέρω εἴρηται, τὰς δὲ ἄλλας πραγματείας τὰς οὔσας ἐκ τῆς Ῥωμανίας ἵνα πωλῆτε ὡς οἱ Ῥωμαῖοι, καὶ διδόατε ὡς οἱ Ῥωμαῖοι, γραμμάτων πεμφθησομένων παρὰ τῆς βασιλείας ἡμῶν εἰς τὰς χώρας αὐτῆς, ἐν αἷς μέλλετε καταίρειν, ἵνα οἱ ἐκεῖσε πράκτορες γνωρίσωσι τὴν πρὸς τὴν βασιλείαν μου καθαρὰν πίστιν ὑμῶν καὶ δούλωσιν καὶ τὰ τυπωθέντα παρὰ τῆς βασιλείας μου πρὸς ὑμᾶς καὶ τὰ παρ᾽ ὑμῶν πρὸς αὐτήν, ὡς ἂν μὴ παρεξέρχωνται τὰ συμφωνηθέντα παρὰ τῆς βασιλείας μου οἵ τε δοῦκες καὶ οἱ λοιποὶ οἱ ὑπὸ τὴν ἐξουσίαν τῆς βασιλείας μου, ἀλλὰ καὶ εἰ συμβῇ γενέσθαι τι ἄδικον, ἵνα ἐκδικῆται παρ᾽ αὐτῶν καὶ γίνηται ἡ διόρθωσις δικαία ὡς ἂν καὶ παρὰ τῆς βασιλείας μου. εἰς πάσας τὰς χώρας αὐτῆς καὶ τὰς νήσους, ἐν αἷς ἂν ἀπληκεύητε, οἱ αὐτοὶ τόποι φυλάττωνται ὑμῖν καὶ ἡ αὐτὴ γίνηται διόρθωσις. εἴπερ ἀπό τινος τῶν Βενετίκων ἢ ἀφ᾽ ἑτέρου ὑποκειμένου τῇ βασιλείᾳ ἡμῶν ἀνθρώπου πάθῃ τις Πισσαῖος ἀτιμίαν δεινὴν ἢ ὕβριν ἄσχημον ἢ τῶν πραγμάτων αὐτοῦ ζημίαν, ἵνα ποιῆται διόρθωσιν ἡ βασιλεία ἡμῶν μετὰ τὸ ἐλεγχθῆναι, εἰ ὑπομνησθῇ ἡ βασιλεία ἡμῶν, κατὰ τὸν νενομισμένον καὶ ἐνδεχόμενον καιρόν. ἐν πάσῃ τῇ ἐπικρατείᾳ αὐτῆς τὰ πλοῖα ὑμῶν καὶ οἱ ἄνθρωποι ὑμῶν βουλόμενοι ὑποστρέψαι εἰς Πίσσαν οὐ μὴ κωλύωνται, οὔτε ἡ βασιλεία μου, οὔτε ὁ περιπόθητος υἱὸς αὐτῆς καὶ βασιλεὺς ὁ πορφυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ

ρογέννητος, οὔτε τις προστάξει ἡμῶν κατά τινα τρόπον ἀδικίας ἐν τοῖς πράγμασιν ὑμῶν ἢ τοῖς ἀνθρώποις ποιήσει. εἰ δὲ διά τινας αἰτίας γένηται, δι' ἐνδεχομένου καιροῦ ἵνα διορθῶται. ἐάν τις ὑμῶν ἔγκλησιν ποιήσῃ, ἐν γνώσει γενομένης τῆς βασιλείας μου, οὐκ ἀποπεμφθήσεται, ἀλλὰ προσδεχθήσεται ἡ ἔγκλησις αὐτοῦ καὶ κατὰ τὸν νόμον κριθήσεται καὶ ἐκδικηθήσεται μετὰ τὴν ἔλεγξιν τῆς ἀληθείας, εἰ φανῇ ἀδικούμενος. οἱ διὰ τὴν δουλείαν τοῦ θεοῦ εἰς τὰ Ἱεροσόλυμα ἀπερχόμενοι μετὰ τῶν ὑμετέρων ἀνθρώπων πρὸς τὸ στρατεύεσθαι κατὰ τῶν παγάνων, ἐν τῇ ἀπελεύσει καὶ τῇ ὑποστροφῇ οὐκ ἐμποδισμόν τινα ὑποστήσονται, οὐδὲ ταραχθήσονται αὐτοὶ ἢ τὰ πλοῖα ἢ αἱ δαπάναι ἢ τὰ στρατιωτικὰ μηχανήματα, ἃ φέρουσιν, ἀσφαλιζόμενοι περὶ τῶν ὑποδεχομένων αὐτοὺς ἐν τοῖς πλοίοις ὑμῶν ὑμετέρων ἀνθρώπων διὰ πληροφορίας ἐνόρκου, ὅτι μήτε ἐχθρῷ τῆς βασιλείας ἡμῶν καὶ τῆς Ῥωμανίας βοηθήσωσι, μήτε ἐκεῖσε κατὰ τῆς βασιλείας ἡμῶν γένωνται. ταῦτα οὖν πάντα ἵνα μένωσιν ἀμετάτρεπτα μέχρι παντός, ἕως ἂν ὑμεῖς τε καὶ πάντες οἱ ἔποικοι τῆς χώρας ὑμῶν καὶ τοῦ κάστρου φυλάττητε τὰ ἀνωτέρω δηλωθέντα βέβαια καὶ ἀπαράθραυστα πρός τε τὴν βασιλείαν μου καὶ τὸν περιπόθητον υἱὸν αὐτῆς καὶ βασιλέα, κῦριν Ἰωάννην τὸν πορφυρογέννητον, καὶ τὴν Ῥωμανίαν, ὡς νοεῖ ταῦτα ἡ βασιλεία ἡμῶν εἰς ὠφέλειαν καὶ τιμὴν αὐτῆς τε καὶ τῆς Ῥωμανίας καὶ ἄνευ δόλου καὶ περινοίας τινός, διὰ γὰρ τοῦτο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος ἀμοιβαῖος ὢν τῆς ἐγγράφου συμφωνίας ὑμῶν τῆς διὰ τοῦ ὑμετέρου ὅρκου βεβαιωθείσης καὶ ταῖς οἰκείαις ὑπογραφαῖς ὑμῶν πιστωθείσης ἀπεστάλη δι' ὑμῶν πρὸς πάντας τοὺς ἐποίκους τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης, γεγενημένος κατὰ τὸν ὀκτώβριον μῆνα τῆς πέμπτης ἰνδικτιῶνος τοῦ ͵ςχκ' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Ἀλέξιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνός.

Ὁ δὲ τοῦ κυροῦ Μανουὴλ οὕτως· ἔφθασαν μὲν οἱ πιστότατοι τῇ βασιλείᾳ μου Πισσαῖοι κτήσασθαι ἐν τῇ Μεγαλοπόλει διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου πάππου τῆς βασιλείας μου καὶ αὖθις τοῦ ἀοιδίμου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου ἔμβολον καὶ σκάλαν καὶ ἐκκλησίαν, καθὼς ἐν τῷ γεγονότι αὐτοῖς πρακτικῷ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΗΣ ΙΩΑΝΝΙΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Μ. τ.Ι. Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

δηλοῦται τὰ περὶ τούτου. ἐπεὶ δὲ πρὸ καιροῦ διά τινας αἰτίας ἠθέλησεν ἡ βασιλεία μου ἐναλλαγῆναι αὐτοῖς τοὺς τοιούτους τόπους καὶ δοθῆναι αὐτοῖς ἀντὶ τούτων ἑτέρους ἐν τοῖς πέραν μέρεσιν ἀντικρὺ τῆς Μεγαλοπόλεως, οἱ δὲ προσελθόντες ἐδεήθησαν τῆς βασιλείας μου, μὴ οὕτω γενέσθαι, ἀλλ' εἶναι αὐτοὺς ἐν κατοχῇ ὧν εἶχον καὶ πρότερον, εὐδόκησεν ἡ βασιλεία μου οὕτω γενέσθαι. καὶ ἐπεὶ ἐδέησεν ὅρκον γενέσθαι παρ' αὐτῶν πρὸς τὴν βασιλείαν μου χάριν τῆς τοιαύτης ὑποθέσεως, ἐπιβεβαιοῦντα τὴν προτέραν συμφωνίαν καὶ τοὺς ὅρκους αὐτῶν, καὶ μέντοι καὶ καταλαβόντες πρὸς τὴν βασιλείαν μου ἀποκρισιάριοι ἀπὸ τῆς τοιαύτης χώρας, ὅ τε συνετώτατος κόνσουλος τῆς τοιαύτης χώρας Ἀλπέρτος καὶ σὺν αὐτῷ ὁ κριτὴς Βουργούντιος καὶ ὁ κόμης Μάρκος, ἐποιήσαντο πρὸς τὴν βασιλείαν μου ὁ μὲν κόνσουλος τὸν δηλωθησόμενον ὅρκον οὕτω κατὰ ῥῆμα διαλαμβάνοντα· ἐγὼ ὁ κόνσουλος τῆς Πίσσης Ἀλπέρτος ἀποσταλεὶς ἀπὸ τῆς χώρας τῆς Πίσσης ἀποκρισιάριος πρὸς τὸν κύριον ἡμῶν, τὸν βασιλέα Κωνσταντινουπόλεως καὶ πάσης Ῥωμανίας, τὸν πορφυρογέννητον κῦριν Μανουὴλ τὸν Κομνηνόν, ὀμνύω ἐξ ὁρισμοῦ καὶ θελήσεως τοῦ τε ἀρχιεπισκόπου ἡμῶν, τῶν κονσούλων, τῶν σενατώρων καὶ τῆς λοιπῆς χώρας τῆς Πίσσης τὸν παρόντα ὅρκον· ἐπεὶ γὰρ συνέβη διά τινας λόγους μετακινηθῆναι ἡμᾶς πρὸς μικρὸν τῆς ἐκκλησίας, τοῦ ἐμβόλου καὶ τῆς σκάλας, ἅπερ εἴχομεν ἐν τῇ Μεγαλοπόλει, ὡς ἀντιδοθέντων ἡμῖν ἀντισήκων ἐν τοῖς πέραν μέρεσι, νῦν δὲ ἐξ ὁρισμοῦ τοῦ βασιλέως ἀποκατέστημεν εἰς ταῦτα, ἅπερ εἴχομεν πρότερον, ἵνα φυλάσσωμεν ἡμεῖς τε καὶ ἡ χώρα τῆς Πίσσης πᾶσα πρός τε τὸν δηλωθέντα πορφυρογέννητον καὶ βασιλέα κῦριν Μανουὴλ τὸν Κομνηνὸν καὶ τοὺς κληρονόμους αὐτοῦ καὶ τὴν Ῥωμανίαν τὴν πίστιν καὶ τὸ χρέος, ὅπερ ἐχρεώστει ἡ χώρα τῆς Πίσσης τῇ βασιλείᾳ αὐτοῦ ἀπὸ τῶν προγεγονυιῶν συμφωνιῶν καὶ τῶν ὅρκων πρός τε τὸν ἀοίδιμον βασιλέα κῦριν Ἀλέξιον τὸν Κομνηνὸν καὶ πρὸς αὐτὸν τὸν πορφυρογέννητον καὶ βασιλέα κῦριν Μανουὴλ τὸν Κομνηνόν, καὶ ἐάν τι γέγονε παρὰ τῆς χώρας τῆς Πίσσης πρός τινα ἐστεμμένον εἴτε καὶ μὴ τοιοῦτον εἰς ἀνατροπὴν ἀφορῶν μερικὴν ἢ καθόλου τῶν τοιούτων συμφωνιῶν καὶ τῶν ὅρκων, ἀντὶ μηδὲ γεγονότος λογισθήσεται τὸ τοιοῦτον. τὸν δὲ παρόντα ὅρκον ὀφείλουσι ποιεῖσθαι καὶ ἀνακαινίσαι καὶ οἱ κόνσουλοι καὶ οἱ λοιποὶ ἔποικοι τῆς Πίσσης κατὰ τὴν συνή-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θειαν, καὶ ὡς ὀμνύω ταῦτα χωρὶς δόλου καὶ περινοίας, οὕτως ἵνα μοι βοηθῇ ὁ θεός, τὰ ἅγια ταῦτα τοῦ θεοῦ εὐαγγέλια καὶ ὁ τίμιος καὶ ζωοποιὸς σταυρός. ὁ δὲ κριτὴς Βουργούντιος καὶ ὁ κόμης Μάρκος οὕτω καὶ αὐτοὶ ἐπωμόσαντο· ἡμεῖς ὅ τε κριτὴς Βουργούντιος καὶ ὁ κόμης Μάρκος ἀποσταλέντες ἀποκρισιάριοι παρὰ τῆς Πίσσης εἰς τὸν κραταιὸν βασιλέα τῶν Ῥωμαίων τὸν πορφυρογέννητον κῦριν Μανουὴλ τὸν Κομνηνὸν ὀμνύομεν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ὅτι τὴν συμφωνίαν τὴν γενομένην πρὸς τὸν ἀοίδιμον βασιλέα κῦριν Ἀλέξιον τὸν Κομνηνὸν καὶ τὸν αὐθέντην ἡμῶν τὸν βασιλέα καὶ πορφυρογέννητον κῦριν Μανουὴλ τὸν Κομνηνὸν παρὰ τοῦ κάστρου τῆς Πίσσης, ἣν ὁ κόνσουλος τῆς Πίσσης Ἀλπέρτος ὤμοσεν εἰς τιμὴν τοῦ βασιλέως, ἵνα φυλάξωμεν καὶ ἡμεῖς πιστῶς καὶ ποιήσωμεν στερχθῆναι καὶ παρὰ παντὸς τοῦ κάστρου τῆς Πίσσης χωρὶς δόλου, καὶ ὡς ὀμνύομεν ταῦτα χωρὶς δόλου καὶ περινοίας καὶ βέβαια φυλάξωμεν, οὕτως ἵνα βοηθῇ ἡμῖν ὁ θεὸς καὶ τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ ὁ τίμιος καὶ ζωοποιὸς σταυρός· ἰδοὺ καὶ ἡ βασιλεία μου ἐπιβεβαιοῖ διὰ τοῦ χρυσοβούλλου σιγιλλίου αὐτῆς τὴν δωρεάν, ἣν εἶχον ἐπὶ τοῖς δηλωθεῖσι δικαίοις παρά τε τοῦ ἀοιδίμου βασιλέως καὶ πάππου τῆς βασιλείας μου καὶ τοῦ ἀοιδίμου βασιλέως, αὐθέντου καὶ πατρὸς αὐτῆς, καὶ διορίζεται βέβαια μένειν καὶ ἀπαρεγχείρητα τὰ γεγονότα τούτοις χρυσόβουλλα ἐπὶ τῇ δωρεᾷ τῶν τοιούτων ἀκινήτων, εἴπερ καὶ ἡ τοιαύτη χώρα τῆς Πίσσης καλῶς συντηρεῖ τὰς πρὸς τὴν βασιλείαν ἡμῶν καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς συνθήκας καὶ τοὺς ὅρκους αὐτῶν πρὸς τιμὴν καὶ ὠφέλειαν τῆς βασιλείας ἡμῶν καὶ τῆς Ῥωμανίας. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγίλλιον τῆς βασιλείας μου ἐπεδόθη αὐτοῖς καταστρωθῆναι ὀφεῖλον τοῖς προσφόροις σεκρέτοις δι' εἴδησιν μηνὶ ἰουλίῳ ἰνδικτιῶνος γ'.

Οὕτω τῶν τοιούτων χρυσοβούλλων διαλαμβανόντων, ἐπεὶ οἱ διαληφθέντες ἀποκρισιάριοι τὰ ἀναγεγραμμένα συνεφώνησαν καὶ ἐνυπογράφῳ αὐτῶν ἐγγράφῳ περιέλαβον καὶ ὅρκῳ, καθὼς δεδήλωται, διεβεβαιώσαντο, διορίζεται ἡ βασιλεία μου τὰ ἐν τοῖς ἀναγεγραμμένοις χρυσοβούλλοις περιειλημμένα περί τε τῶν ἀπὸ τῆς Πίσσης πρὸς τὴν Ῥωμανίαν συμφωνηθέντων καὶ τῶν ἀπὸ τῆς Ῥωμανίας αὐτοῖς ἐπιφιλοτιμηθέντων τὸ ἐνεργὸν ἔχειν καὶ ἀπαράθραυστον καὶ οὕτω λογίζεσθαι ὡς ἄρτι συμφωνούμενα καὶ ἐπιφιλοτιμούμενα καὶ ἀποκατασταθῆναι

Ε.Λ.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

διακελεύεται τοὺς Πισσαίους εἰς πάντα τὰ ἐν τῇ Μεγαλοπόλει προ-
δεδωρημένα αὐτοῖς παρά τε τοῦ ἀοιδίμου βασιλέως καὶ προπάππου
τῆς βασιλείας μου κυροῦ Ἀλεξίου καὶ τοῦ περιποθήτου θείου τῆς
βασιλείας μου κυροῦ Μανουήλ, τόν τε ἔμβολον δηλαδή, τὰ οἰκήματα,
τὴν ἐκκλησίαν σὺν τῇ παρ' αὐτῶν ἀνεγερθείσῃ ἐντὸς τῶν δικαίων
αὐτῶν ἑτέρᾳ ἐκκλησίᾳ καὶ τὴν παράλιον σκάλαν, καθὼς αὐτοῖς ἐδω-
ρήθησαν καὶ κατὰ τὰ προβάντα αὐτοῖς πρακτικὰ ἐπὶ τῇ γεγονυίᾳ
πρὸς αὐτοὺς παραδόσει τούτων. προσεπιφιλοτιμεῖται δὲ τούτοις ἡ βα-
σιλεία μου καὶ τὰ ἐνοικικὰ τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου τὰ ἐν τῷ
γενησομένῳ αὐτοῖς πρακτικῷ δηλωθησόμενα καὶ ἔχοντα εἴσοδον
ἐτησίαν νομίσματα ὑπέρπυρα διακόσια τεσσαρακονταὲξ καὶ τὴν προα-
φιερωθεῖσαν σκάλαν ἐν τῇ τοποθεσίᾳ τῆς Ἱκανατίσσης παρὰ τῆς
βασιλείας μου τῷ παρ' αὐτῆς καινουργηθέντι ξενῶνι ἐν τῷ σεβασμίῳ
ναῷ τῶν ἁγίων μεγάλων μαρτύρων Τεσσαράκοντα. εὐδοκεῖ δὲ δίδο-
σθαι καὶ πάλιν τῇ ἐν τῇ Πίσσῃ ἐκκλησίᾳ τὰ τετυπωμένα αὐτῇ ἐτήσια
σολέμνια, τὰ πεντακόσια δηλαδὴ ὑπέρπυρα καὶ τὰ δύο βλαττία, ὡς
καὶ παρὰ τῆς βασιλείας μου ἀρτίως τυπωθέντα αὐτῇ διὰ τὴν πρὸς
τὴν βασιλείαν μου πίστιν καὶ δουλείαν τοῦ κάστρου καὶ τῆς χώρας
τῆς Πίσσης, προστίθησι δὲ τούτοις καὶ ἕτερα ὑπέρπυρα ἑκατόν, ὡσαύ-
τως καὶ τῷ τιμιωτάτῳ ἀρχιεπισκόπῳ Πίσσης τὸ προτετυπωμένον αὐτῷ
καθ' ἕκαστον ἐνιαυτὸν σολέμνιον, τὰ ἑξήκοντα δηλονότι ὑπέρπυρα καὶ
τὸ ἓν βλαττίον, ὡς καὶ αὐτῷ νῦν ὁμοίως τυπωθὲν παρὰ τῆς βασι-
λείας μου, προστίθησι δὲ τούτῳ καὶ εἰς πρόσωπον τοῦ νῦν ἀρχιεπι-
σκόπου καὶ ἕτερα ὑπέρπυρα καθ' ἕκαστον ἔτος τεσσαράκοντα, καὶ
διορίζεται κατέχεσθαι τὰ τοιαῦτα πάντα παρὰ τοῦ μέρους τοῦ κά-
στρου καὶ τῆς χώρας τῆς Πίσσης εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνε-
κεῖς χρόνους κατὰ τὸ γενησόμενον πρακτικὸν τῆς τούτων παραδόσεως
πρὸς τοὺς διαληφθέντας ἀποκρισιαρίους αὐτῶν παρά τε τῶν γραμμα-
τικῶν τῆς βασιλείας μου, τοῦ τε Πεδιαδίτου Κωνσταντίνου, τοῦ μεγα-
λεπιφανεστάτου πρωτονωβελισίμου Σεργίου τοῦ Κολυβᾶ καὶ τοῦ δεσι-
μωτάτου Κωνσταντίνου τοῦ Πετριώτου τὸ καὶ καταστρωθῆναι ὀφεῖλον
τοῖς προσφόροις σεκρέτοις σὺν τῷ παρόντι χρυσοβούλλῳ τῆς βασιλείας
μου καὶ ἀποκερδαίνειν τοὺς Πισσαίους πᾶσαν τὴν ἐξ αὐτῶν εἴσοδον,
τήν τε νῦν οὖσαν καὶ τὴν ἐσομένην ἐξ ἐπιποιήσεων αὐτῶν ἐντὸς τῶν
παραδεδομένων αὐτοῖς συνόρων γινομένων, μέχρις ἂν τὴν πρὸς τὴν

βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν πίστιν καὶ δουλείαν συντηρῇ τὸ κάστρον καὶ ἡ χώρα τῆς Πίσσης καὶ αὐτὸ τὸ κοινὸν αὐτῆς ἀπαράθραυστον καὶ ἀκολόβωτον κατὰ τὴν παρὰ τῶν ἀναγεγραμμένων ἀποκρισιαρίων αὐτῶν γεγονυῖαν ἔγγραφον συμφωνίαν τὴν καὶ ἀνωτέρω ἀναταχθεῖσαν καὶ παρὰ τοῦ ἐξουσιαστοῦ τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης καὶ τῶν προκρίτων Πισσαίων καὶ παντὸς τοῦ πληρώματος Πίσσης ἐπομοθῆναι ὀφείλουσαν ἐνώπιον τῶν ἐπ' αὐτῷ τούτῳ ἀποσταλησομένων ἀνθρώπων τῆς βασιλείας μου καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἀνακαινίζεσθαι, καθὼς ἰδικῶς τὰ περὶ τοῦ τοιούτου κεφαλαίου συνεφωνήθησαν πρὸς τὸν ἀοίδιμον βασιλέα καὶ θεῖον τῆς βασιλείας μου κῦριν Μανουήλ, ἀπολαύσουσι δὲ καὶ τῆς ἐξκουσσείας πάσης τῆς ἐν τοῖς ἀναταχθεῖσι δυσὶ χρυσοβούλλοις ἐμπεριειλημμένης περί τε τοῦ κομμερκίου καὶ τῶν λοιπῶν πάντων κεφαλαίων τῶν ἐν αὐτοῖς περιεχομένων, καταβάλλοντες εἰς τὰ ἑκατὸν τέσσαρα ἔν τε τῇ Μεγαλοπόλει καὶ ταῖς λοιπαῖς χώραις τῆς βασιλείας μου, οὐ μόνον ἐπὶ ταῖς ἀπὸ ἀλλοδαπῶν χωρῶν παρ' αὐτῶν διακομιζομέναις εἰς τὴν Ῥωμανίαν παντοίαις πραγματείαις, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν τῶν ἐκ τῶν χωρῶν τῆς Ῥωμανίας παρ' αὐτῶν ἐξωνουμένων καὶ ἐν τῇ Μεγαλοπόλει ἢ ἑτέραις χώραις τῆς Ῥωμανίας διαπιπρασκομένων· εἰ γὰρ καὶ ἀπὸ τοῦ γεγονότος αὐτοῖς χρυσοβούλλου τοῦ προπάππου τῆς βασιλείας μου, τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ὡς Ῥωμαίους λογίζεσθαι τούτους ἐν ταῖς ἀπὸ τῆς Ῥωμανίας πραγματείαις διώρισται, κἀκεῖνο διδόναι κομμέρκιον ἐπὶ ταύταις, ὅπερ οἱ Ῥωμαῖοι διδόασιν, ἀλλ' ἡ βασιλεία μου τῆς πολλῆς αὐτοὺς ἀμειβομένη εὐνοίας καὶ πίστεως φιλοτίμως καὶ ἐπὶ τῷ τοιούτῳ κεφαλαίῳ πρὸς αὐτοὺς διατίθεται, καὶ τέσσαρα μόνα εἰς τὰ ἑκατὸν διδόναι αὐτοὺς διορίζεται καὶ ἐν ταῖς ἀπὸ τῆς Ῥωμανίας πραγματείαις αὐτῶν. ἀπολαύσουσι τοίνυν οἱ Πισσαῖοι τῆς χαρισθείσης αὐτοῖς ἐξκουσσείας παρὰ τῆς βασιλείας μου καὶ πάντων τῶν δεδωρημένων αὐτοῖς, ὡς ἀνωτέρω δεδήλωται, καὶ μετακινηθήσονται τούτων οὐδέποτε· κἂν γὰρ καὶ ἔφθασαν τὰ τοιαῦτα πάντα παραδοθῆναι τοῖς μοναστηρίοις καὶ τοῖς προσώποις, ἐξ ὧν ἀφαιρεθέντα τοῖς Πισσαίοις παρεδόθησαν, ἀλλ' ἐπεὶ αὖθις οἱ τοιοῦτοι Πισσαῖοι ὑπὸ τὴν δουλείαν τῆς Ῥωμανίας γεγόνασι καὶ τὴν προτέραν πίστιν αὐτῶν καὶ δουλείαν τῇ βασιλείᾳ μου καὶ τοῖς κληρονό-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Υ. Αντώνης Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

μοις καὶ διαδόχοις αὐτῆς καὶ τῇ Ῥωμανίᾳ φυλάττειν ἐπωμόσαντο, ἀφῃρέθησαν αὖθις ἐξ αὐτῶν καὶ τοῖς Πισσαίοις ἀποκατέστησαν, ὡς τῶν τοιούτων τὸ ἱκανὸν ἔχειν ὀφειλόντων ἀπὸ τοῦ δημοσίου, κἂν μὴ σχῶσι δὲ, μὴ κατὰ τῶν Πισσαίων ὀφειλόντων ἐνάγειν, ἀλλὰ κατὰ τοῦ δημοσίου αὐτοῦ ἐντὸς τοῦ νενομισμένου καιροῦ, κἂν μὲν τύχωσιν ἀντισηκώσεως, ἔχειν τὸ ἱκανὸν διὰ τοῦ δοθέντος, κἂν μὴ σχῶσι δὲ, στέργειν ὡς τῆς βασιλείας μου ἐπ' ἀδείας ἐκ τῶν νόμων ἐχούσης ἐν εἰδήσει δωρεῖσθαι καὶ τὰ ἀλλότρια καὶ οὕτω δωρουμένης τὰ τοιαῦτα τῷ τῆς Πίσσης πληρώματι. ἐπεὶ δὲ πρὸς τοῖς ἄλλοις ἐδεήθησαν τῆς βασιλείας μου οἱ διαληφθέντες ἀποκρισιάριοι, ἵνα δηλωθῶσιν ἐν τῷ παρόντι χρυσοβούλλῳ τῆς βασιλείας μου τά τε προκατεχόμενα παρὰ τοῦ μέρους τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης ἐν τῇ Μεγαλοπόλει δίκαια, τά τε νῦν ἐπιφιλοτιμηθέντα αὐτοῖς παρὰ τῆς βασιλείας μου, ηὐδόκησεν οὕτω γενέσθαι ἡ βασιλεία μου. καὶ ἔχουσι τὰ μὲν προκατεχόμενα παρὰ τῶν Πισσαίων οὕτως· ἡ περίμετρος τοῦ ἐδάφους τῶν προκατεχομένων παρ' αὐτῶν οἰκημάτων ἔχει μῆκος ἀπὸ τοῦ πρὸς δύσιν μέρους τῶν περισωζομένων ἐγχορήγων κτισμάτων τῶν πρὸς μεσημβρίαν τοῦ ἐμβόλου καὶ πρὸς ἀνατολὴν πήχεις τριάκοντα κα τρεῖς. ἀντικρὺ δὲ τούτων καὶ ἐκεῖθεν τοῦ ἐμβόλου πρὸς ἄρκτον ἔχε. τὸ ἔδαφος τῶν αὐτῶν οἰκημάτων τῶν ἀπὸ παλαιοῦ μῆκος πήχεις τριακονταεννέα καὶ πλάτος τὸ μὲν πρὸς μεσημβρίαν πήχεις δέκα, τὸ δὲ τῆς διακρατήσεως τοῦ ἐδάφους τῶν πρὸς ἄρκτον τοῦ ἐμβόλου οἰκημάτων καὶ πρὸς ἄρκτον τοῦ ἐμβόλου πήχεις εἴκοσι τρεῖς. τὰ δὲ νῦν ἐπιφιλοτιμηθέντα, ἐν οἷς συνεισάγονται καὶ τὰ τοιαῦτα καὶ ἔκπαλαι ἐδάφη ἔχουσιν οὕτως· πρὸς μεσημβρίαν τοῦ ἐμβόλου καὶ πρὸς ἀνατολὴν τοῦ νεροδρόμου τοῦ ἀπὸ τῶν Ἀμαλφηνῶν καὶ τοῦ Ἱκανάτου ἔδαφος τῶν πυρποληθέντων οἰκημάτων ἀρχόμενον ἀπὸ τοῦ νεροδρόμου καὶ ἀπευθυνόμενον μέχρι καὶ τῶν ἐγχορήγων κτισμάτων τοῦ μετοχίου τῶν Τριχιναρῶν ἔχον μῆκος ἀπὸ τοῦ νεροδρόμου τῶν Ἀμαλφηνῶν καὶ μέχρι καὶ τοῦ μετοχίου πήχεις ἑβδομήκοντα τρεῖς καὶ πλάτος ἀπὸ τοῦ ἐμβόλου καὶ μέχρι τῆς πρὸς μεσημβρίαν ῥυμίδος τῆς διαιρούσης ἐκεῖθεν καὶ πρὸς μεσημβρίαν τὰ δίκαια τὰ δωρηθέντα τοῖς Ἀμαλφηνοῖς κατὰ τὸ πρὸς δύσιν μέρος τὸ κατ' ἶσον τοῦ νεροδρόμου καὶ τῶν ἐκεῖσε ἐγχορήγων κτισμάτων τοῦ ποτε οἰκοστασίου τῶν Παναγίου πήχεις τριακοντατρεῖς, ἐφ' ὧν νεροδρόμων καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. της Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

κατ' ἴσον τοῦ ἐμβόλου τράπεζαι καταλλακτικαὶ τρεῖς· τὸ δὲ πρὸς ἀνατολὴν καὶ κατ' ἴσον τοῦ μετοχίου πλάτος ἀπὸ τοῦ ἐμβόλου καὶ πρὸς μεσημβρίαν πήχεις εἴκοσι, ἐν ᾧ ἐδάφει εἰσάγονται καὶ τὰ προγραφέντα ἐδάφη τῶν ἔκπαλαι οἰκημάτων τῶν Πισσαίων. ἕτερον ἔδαφος πρὸς μεσημβρίαν τούτων καὶ τῶν μεταξὺ ῥυμίδων κατ' ἰσότητα τῆς διακρατήσεως τοῦ μετοχίου τῶν Τριχιναρῶν καὶ πρὸς δύσιν ἔχον μῆκος ἀπὸ τῶν κτισμάτων τοῦ μετοχίου τῶν Τριχιναρῶν καὶ πρὸς δύσιν πήχεις εἴκοσι καὶ πλάτος ἀπὸ τῆς πρὸς μεσημβρίαν ῥυμίδος τῆς κατ' ἰσότητα τοῦ ἀναγεγραμμένου μετοχίου κα' πρὸς ἄρκτον μέχρι καὶ τῆς μεταξὺ τοῦ ἐμβόλου ῥυμίδος πήχεις δεκαεπτά. τὰ δὲ κτισθησόμενα οἰκήματα παρὰ τῶν Πισσαίων ὀφείλουσιν ὑποστηρίζεσθαι διὰ οἰκείων ὀρθῶν καὶ τοίχων ὀφειλόντων εἶναι πρὸς τὸ μέρος τοῦ μετοχίου Ὁλοβώβων. ἡ διακράτησις τοῦ μετοχίου τῶν Τριχιναρῶν ἐστιν ἔξω τῆς παραδόσεως, ὡς μὴ κατακρατηθεῖσα μήτε παραδοθεῖσα, τὸ δὲ πρὸς τὸν ἔμβολον μέρος τοῦ αὐτοῦ μετοχίου, τὸ ἔχον μῆκος πήχεις δέκα καὶ πλάτος πήχεις ἕξ, μέχρι καὶ τοῦ ἐμβόλου ἄνευ τοῦ πρὸς τὸν ἔμβολον ἡλιακοῦ μετὰ καὶ τῶν ἐπ' αὐτῷ κτισμάτων καὶ τῶν καμαρῶν παρεδόθη καὶ αὐτὸ τοῖς Πισσαίοις. ἐκεῖθεν τοῦ αὐτοῦ μετοχίου καὶ πρὸς ἀνατολὴν ἔδαφος τῶν ποτε οἰκημάτων τοῦ μαγυπικοῦ ἐργαστηρίου τῆς Περιβλέπτου ἔχον μῆκος ἀπὸ τῶν ἐγχορήγων κτισμάτων τοῦ αὐτοῦ μετοχίου καὶ πρὸς ἀνατολὴν πήχεις τριάκοντα καὶ μόνους καὶ πλάτος ἀπὸ τοῦ δημοσίου ἐμβόλου καὶ πρὸς μεσημβρίαν πήχεις εἰκοσιέξ. ἐκεῖθεν τοῦ ἐμβόλου πρὸς ἄρκτον ἔδαφος ἄνετον τὸ νῦν φαινόμενον εἰς κάμπον τῶν ποτε οἰκημάτων, ἔχον μῆκος ἀπὸ τοῦ δημοσίου ἐμβόλου καὶ μέχρι τοῦ τείχους τοῦ κάστρου τοῦ φαινομένου κατ' εὐθεῖαν ἀπὸ τῆς πόρτης τοῦ Νεωρίου καὶ πρὸς δύσιν πήχεις ἑκατὸν ὀκτὼ καὶ πλάτος ἀπὸ τοῦ νεροδρόμου τοῦ πρὸς δύσιν μὲν τῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν ὄντος, πρὸς ἀνατολὴν δὲ τοῦ εἰς κάμπον φαινομένου ἐδάφους τοῦ ἐξάγοντος τὸ ὕδωρ ἐν τῇ πόρτῃ τοῦ Νεωρίου καὶ πρὸς δύσιν μέχρι καὶ τοῦ νεροδρόμου τοῦ κατερχομένου ἀπὸ τῶν Ἀμαλφηνῶν καὶ ἐξάγοντος τὸ ὕδωρ ἐν τῇ πόρτῃ τῆς Ἱκανατίσσης πήχεις ἑκατὸν δεκαπέντε ἄνευ τοῦ ἄνωθεν τῆς πόρτης τοῦ Νεωρίου θολωτοῦ πύργου ὡς ὄντος τοῦ ἀπὸ Λογοθετῶν ἔκπαλαι. τὸ δὲ πρὸς δύσιν μέρος τὸ ἀπὸ τοῦ ἐμβόλου καὶ κατ' ἴσον μέχρι τοῦ νεροδρόμου τοῦ ἀπὸ τῶν Ἀμαλφηνῶν καὶ μέχρι



ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τῆς ῥυμίδος τῆς πρὸς ἄρκτον μεγάλης ἐκκλησίας τῆς παρὰ τῶν Πισσαίων ἀνεγερθείσης ἐπ' ὀνόματι τοῦ ἁγίου ἀποστόλου Πέτρου πήχεις ἐννενήκοντα. ἐπ' αὐτῷ τῷ ὅλῳ ἐδάφει καὶ τῇ περιμέτρῳ τῷ κατ' ἶσον μὲν τοῦ ἐμβόλου καὶ κατ' ἶσον τοῦ ἀπὸ τῶν Ἀμαλφηνῶν νεροδρόμου καὶ μέχρι τῆς πρὸς ἄρκτον τοῦ ἁγίου Πέτρου ῥυμίδος τῆς διαιρούσης ἐκεῖθεν καὶ πρὸς ἄρκτον τὰ νῦν ἐπιφιλοτιμηθέντα παρὰ τοῦ κράτους τῆς ἡμῶν βασιλείας τοῖς αὐτοῖς Πισσαίοις τὰ καὶ ἀπὸ τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου ἀφαιρεθέντα οἰκήματα ταῦτα, ἤγουν χαμαίγαια μικρὰ ὀκτὼ τὰ καὶ γύρωθεν τῆς ἐκκλησίας, ἀνωγεωκάτωγα δύο τὰ παρὰ τοῦ χαλκέως καὶ τραπεζοτόπια δύο κατ' ἰσότητα τοῦ ἐμβόλου καὶ αἱ παρὰ τῶν αὐτῶν Πισσαίων κτισθεῖσαι δύο μεγάλαι ἐκκλησίαι, ἡ μὲν μία ἐπ' ὀνόματι τοῦ ἁγίου ἀποστόλου Πέτρου, ἡ δὲ ἑτέρα ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου μετὰ καὶ τῶν ἐπ' αὐτῶν φρεάτων. τὰ δὲ νῦν ἐπιφιλοτιμηθέντα τοῖς Πισσαίοις οἰκήματα ἔχουσιν οὕτως· πρὸς ἄρκτον τῆς ῥυμίδος τῆς ἐκεῖθεν καὶ πρὸς ἄρκτον τοῦ ναοῦ τοῦ ἁγίου Πέτρου οἰκήματα διάφορα τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου, ὧν τὰ πέντε τὰ πρὸς ἀνατολὴν καὶ κατ' ἶσον τῆς πρὸς ἄρκτον τοῦ ἁγίου Πέτρου ῥυμίδος ἐκτίσθησαν παρὰ τοῦ Ξανθοπούλου ἐπὶ χρόνοις σκεπόμενα διὰ τρικλιναρίων, μετὰ καὶ ἡλιακοῦ πρὸς τὸ περίαυλον διὰ διρρύτων καὶ καταχύτων, ἐκτὸς δὲ καὶ πρὸς ἀνατολὴν διὰ καταχύτων, βασταζόμενα διὰ τοίχων καὶ ξυλοκιόνων, περιπεφραγμένα διὰ σφενδάρων, αἱ θύραι ἐκ πριστῶν, αἱ δὲ ἄνοδοι σκευρῶται, κατ' ἶσον τῆς τοιαύτης ῥυμίδος καὶ πρὸς δύσιν μέχρι καὶ τοῦ ἀπὸ τῶν Ἀμαλφηνῶν νεροδρόμου καὶ κατ' ἰσότητα τούτου μέχρι καὶ τοῦ τείχους καὶ τῆς ἐπὶ τῷ τείχει πόρτης τῆς Ἱκανατίσσης οἰκήματα ἀνωγεωκάτωγα δεκατέσσαρα, ἔχοντα ἐνοίκιον νομίσματα ὑπέρπυρα ἑκατὸν ἐννενηκονταέν. ἐντὸς τῶν τοιούτων οἰκημάτων πρὸς ἀνατολὴν καὶ ἐν τῷ τριγωνίσματι τοῦ τείχους ἡνωμένως τῷ αὐτῷ τείχει οἰκήματα ἀνωγεωκάτωγα διὰ τρικλιναρίων μεγάλων, ἄνευ τῶν δύο μυλοστασίων καὶ τοῦ φούρνου, κτισθέντα παρὰ τοῦ μάγκυπος Γαλτερίου ἐπὶ χρόνοις, μετὰ καὶ τοῦ χαμαιγαίου καταχύτου καὶ τοῦ πρὸς μεσημβρίαν ἀνέτου ἐδάφους τῆς ξυλοαποθήκης ἐπὶ ἐμφυτεύσεις εἰς ὑπέρπυρα δεκαπέντε, ἐπὶ δὲ ἐνοικίᾳ εἰς νομίσματα τριάκοντα· τὰ δὲ μυλοστασία καὶ ὁ φοῦρνός εἰσι τοῦ Γαλτερίου τοῦ λατίνου. πρὸς μεσημβρίαν τούτου καὶ ἐντὸς τοῦ περιαύλου οἰκοστασίον κτισθὲν παρὰ Ἰωάννου τοῦ υἱοῦ τοῦ Πι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΙΔΑΓΩΓΙΚΗΣ ΨΥΧΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λώτου· τούτου τὰ οἰκήματα σκέπονται διὰ τρικλιναρίων δύο, διρρύτων δύο καὶ κουβουκλοπούλου, βασταζόμενα ἀπὸ γῆς διὰ τοίχων καὶ ξυλοκιόνων, ἄνωθεν δὲ καὶ διόλου διὰ ξυλοκιόνων περιπεφραγμένα καὶ διῃρημένα διὰ σφενδάρων· τὸ τούτου περιαύλιον ἀποφράσσεται διὰ τοίχου ἐμπήλου καὶ διθύρας ἀπὸ ὀκταπήχων· ἐπὶ τούτου καὶ φρέαρ, νομίσματα εἰκοσιπέντε, διὰ τῶν παραλίων σκαλῶν. σκάλα ἡ ἀπὸ παλαιοῦ ἡ καὶ ἔξωθεν τῆς πόρτης τοῦ Νεωρίου καὶ ἀντικρὺ τῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν ἡ καὶ φαινομένη καὶ λεγομένη Διπλῆ, ἀποφρασσομένη κατ' ἴσον τῆς δημοσίας ὁδοῦ διὰ καγκέλων ἀπὸ ἑξαπήχων διὰ τὸ μὴ εἶναι ἐπὶ ταύτῃ οἰκήματα μόνων ἐπ' αὐτῇ ὄντων καταχύτων χαμαίγαια δύο καὶ καταλλακτικοῦ τραπεζίου ἑνὸς ἄνωθεν τῶν κανάλων, ἧς ἡ περίμετρος ἄρχεται ἀπὸ τοῦ κανάλου τῆς δημοσίας ὁδοῦ καὶ μέχρι καὶ τῆς θαλάσσης. ἔχει δὲ πλάτος ἀπὸ τοῦ κατὰ ἀνατολὴν κανάλου τῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν τῆς διαιρούσης ἐκεῖθεν καὶ πρὸς ἀνατολὴν σκάλαν τοῦ ἀπὸ Λογοθετῶν καὶ πρὸς δύσιν μέχρι καὶ τοῦ κανάλου τοῦ διαιροῦντος πρὸς δύσιν τὴν ἑτέραν σκάλαν τῶν αὐτῶν Πισσαίων, τὴν καὶ πρὸς δύσιν τῆς πόρτης τοῦ Νεωρίου διακειμένην, διὰ τὸ μὴ κεκτῆσθαι τὴν τοιαύτην σκάλαν οἰκήματα πρὸς τὸ τεῖχος, ὡς τῶν τοιούτων οἰκημάτων ὄντων [τοῦ ἀπὸ] Λογοθετῶν καὶ ἔξω τῆς παραδόσεως ἐαθέντων. ἀπὸ ταύτης καὶ πρὸς δύσιν ἕτεραι σκάλαι τρεῖς αἱ διήκουσαι μέχρι καὶ τῆς σκάλης τῆς νῦν κατεχομένης παρὰ τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου μετὰ καὶ τῶν ἐπὶ ταύταις οἰκημάτων καὶ τῶν ἐνοικικῶν ἐργαστηρίων ἀρχομένης ἀπὸ τῶν κανάλων τῆς δημοσίας ὁδοῦ καὶ μέχρι καὶ τῆς θαλάσσης καὶ πλάτος ἑκάστης ἀπὸ τοῦ κανάλου καὶ μέχρι τοῦ ἑτέρου κανάλου καὶ τῶν διὰ ἑξαπήχων ἀποφραγῶν τῆς διαιρέσεως τῶν αὐτῶν σκαλῶν. αἱ τοιαῦται δὲ τρεῖς σκάλαι κέκτηνται ὡς πρὸς τὸ τεῖχος ἐδάφη καὶ οἰκήματα, ὧν ἡ μία ἡ πρὸς δύσιν τῆς πόρτης τοῦ Νεωρίου κέκτηται ἔδαφος ἄνετον ἀποφρασσόμενον διὰ ἑξαπήχων, χρησιμεῦον εἰς ἀπόθετον μέχρι καὶ τῆς πόρτης τοῦ Νεωρίου. ἐπ' αὐτῷ τῷ ἐδάφει ὀφείλουσιν ἀνεγερθῆναι οἰκήματα χαμαίγαια ὅμοια τοῖς ἐκεῖσε νῦν οὖσιν, αἱ δὲ ἕτεραι δύο κέκτηνται οἰκήματα χαμαίγαια ἐννέα. ἡ τοιαύτη σκάλα ἡ πρὸς ἀνατολὴν καὶ πρὸς δύσιν τῆς ῥηθείσης Διπλῆς σκάλας ἔχει μῆκος ἀπὸ τοῦ κανάλου τοῦ διαιροῦντος ἐκεῖθεν καὶ πρὸς ἀνατολὴν τὴν ἀπὸ παλαιοῦ Διπλῆν σκάλαν καὶ πρὸς

δύσιν μέχρι καὶ τῆς ἀπὸ ὀκταπήχων διαιρέσεως κατ' ἴσον τῆς δημοσίας ὁδοῦ πήχεις τριάκοντα δύο καὶ πλάτος ἀπὸ τῆς θαλάσσης καὶ μέχρι τοῦ τείχους σὺν τῷ ἐδάφει τοῦ καγκέλου, ἐντὸς δὲ τῆς σκάλας καὶ ὡς πρὸς ἄρκτον ἀπὸ τοῦ κανάλου καὶ μέχρι τῆς διὰ ὀκταπήχων ἀποφραγῆς πήχεις εἰκοσιπέντε ὡς στενουμένου τοῦ ἐδάφους. ἀπὸ ταύτης ἑτέρα ἔχουσα μῆκος ἀπὸ τῆς τοιαύτης διὰ ὀκταπήχων ἀποφραγῆς καὶ πρὸς δύσιν μέχρι τῆς διὰ ἑξαπήχων ἀποφραγῆς καὶ τοῦ κανάλου πήχεις δεκαεπτὰ ἥμισυ. κατ' ἴσον δὲ τῆς δημοσίας ὁδοῦ πήχεις εἰκοσιεννέα καὶ πλάτος ἀπὸ τῆς θαλάσσης καὶ μέχρι καὶ τοῦ τείχους καὶ τῶν πρὸς αὐτὸ οἰκημάτων. ἡ ἀπὸ ταύτης ἑτέρα σκάλα ἔχει μῆκος ἀπὸ τῆς αὐτῆς διὰ ἑξαπήχων ἀποφραγῆς τῆς διαιρούσης τὴν αὐτὴν σκάλαν τὴν κατεχομένην παρὰ τῶν Ἀμαλφηνῶν καὶ πρὸς δύσιν μέχρι καὶ τῶν ἑξαπήχων τῆς ἀποφραγῆς τῶν διαιρούντων τὴν σκάλαν τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου τὴν καὶ κατ' ἴσον τῆς πρὸς θάλασσαν παλοκρουσίας τῆς πρὸς δύσιν τοῦ διὰ λισγαρίου τοῦ καὶ κατ' ἴσον τῆς ἀποφραγῆς τῶν ἀνωγαίων οἰκημάτων τῆς αὐτῆς σκάλας τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου, ἐντὸς μὲν καὶ περὶ τὸ μέσον τῆς αὐτῆς σκάλας, πήχεις εἰκοσιτρεῖς διὰ τὸ ἐπεκτείνεσθαι, ἐκτὸς δὲ καὶ κατ' ἴσον τῆς δημοσίας ὁδοῦ πήχεις εἴκοσι καὶ πλάτος ἀπὸ τῆς θαλάσσης καὶ μέχρι τοῦ τείχους. τὸ δὲ δίκαιον τῆς αὐτῆς σκάλας τὸ κατ' ἴσον τοῦ τείχους ἐπευθύνεται πρὸς δύσιν ἐπέκεινα τοῦ μήκους τῆς αὐτῆς σκάλας, καὶ ἔχει μῆκος ἀπὸ τοῦ πρὸς ἀνατολὰς τοῦ πύργου κανάλου καὶ πρὸς δύσιν τοῦ αὐτοῦ πύργου πήχεις εἴκοσι πρὸς τῷ ἑνί. ἐπ' αὐταῖς ταῖς τρισὶ σκάλαις εἰσὶ καὶ καταλλακτικὰ τραπέζια τρία. ἡ ἀπὸ τούτων σκάλα τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου ἐστὶν ἔξωθεν τῆς παραδόσεως μετὰ καὶ τῶν πρὸς τὸ τεῖχος οἰκημάτων ταύτης, καὶ ὀφείλει καὶ αὖθις κατέχεσθαι παρὰ τῆς μονῆς. ἐκεῖθεν τῆς οὔσης ἔξω τῆς παραδόσεως σκάλας τοῦ κῦρ Ἀντωνίου ἡ σκάλα ἡ προδωρηθεῖσα παρὰ τῆς βασιλείας μου τῷ παρ' αὐτῆς καινουργηθέντι ξενῶνι ἐν τῷ σεβασμίῳ ναῷ τῶν ἁγίων Τεσσαράκοντα, νῦν δὲ δωρηθεῖσα τοῖς αὐτοῖς Πισσαίοις παρὰ τῆς βασιλείας μου ἔχουσα μῆκος ἀπὸ τῶν διὰ ἑξαπήχων ἀποφραγῶν τῆς κατ' ἴσον τῆς πρὸς θάλασσαν παλοκρουσίας τῆς καὶ πρὸς ἀνατολὴν τοῦ κατὰ ἀνατολὴν τῆς αὐτῆς σκάλας διὰ λισγαρίου καὶ πρὸς δύσιν μέχρι καὶ τοῦ κανάλου, ἐντὸς μὲν καὶ περὶ τὸ μέσον πήχεις εἰκοσιεννέα, ἐκτὸς δὲ καὶ κατ' ἴσον

τῆς δημοσίας ὁδοῦ πήχεις εἴκοσι δύο πρὸς τῷ ἡμίσει, ὡς τοῦ καναλου ὀφείλοντος· εἶναι ἐπικοίνου καὶ πλάτος ἀπὸ τῆς θαλάσσης καὶ μέχρι τοῦ τείχους μετὰ καὶ τῶν πρὸς τὸ τεῖχος οἰκημάτων τῶν διηκόντων μέχρι καὶ τῆς πρὸς ἀνατολὴν ὄψεως τοῦ πύργου τοῦ πρὸς δύσιν ὄντος τῆς πόρτης τῆς Ἰκανατίσσης, τὸ δὲ μῆκος τῶν πρὸς τὸ τεῖχος οἰκημάτων μετὰ καὶ τοῦ πλάτους τῆς δημοσίας πόρτης τῆς Ἰκανατίσσης ἀπὸ τοῦ μέσου τοῦ πύργου καὶ πρὸς ἀνατολὴν μέχρι καὶ τῆς ἀποφραγῆς τοῦ πρὸς τὸ τεῖχος οἰκήματος τοῦ διαφέροντος τῇ ἑαθείσῃ σκάλᾳ ἔξω τῆς παραδόσεως τῇ τῆς μονῆς τοῦ κῦρ Ἀντωνίου, πήχεις δεκαεννέα, τὸ δὲ πλάτος ἀπὸ τοῦ τείχους καὶ μέχρι τοῦ κανάλου. ἡ πόρτα ὀφείλει εἶναι ἄνετος καὶ ἄνωθεν αὐτῆς τῆς ῥηθείσης πόρτης οὐκ ὀφείλει κτισθῆναι οἴκημα οἱονδήτι ἢ ἕτερόν τι παρὰ τῶν τοιούτων Πισσαίων, ἔχειν δὲ αὐτὴν καθὼς ἐστὶ κατὰ τὴν σήμερον ἔχουσα. συντηρηθήσονται τοίνυν τὰ ἀναγεγραμμένα πάντα βέβαια παρὰ τῆς βασιλείας μου καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς καὶ τῆς Ῥωμανίας, εἴπερ καὶ ὁ ὢν ἐξουσιαστὴς ἐν τῷ κάστρῳ καὶ τῇ χώρᾳ τῆς Πίσσης καὶ οἱ κόνσουλοι καὶ οἱ σύμβουλοι καὶ οἱ σενάτωρες καὶ αἱ κεφαλαὶ καὶ οἱ ῥαίκτορες καὶ οἱ λοιποὶ πρόκριτοι καὶ αὐτὸ τὸ κοινὸν τῆς Πίσσης παραδεξάμενοι τὰ παρὰ τῶν ἀναγεγραμμένων ἀποκρισιαρίων αὐτῶν συμφωνηθέντα καὶ ἐπομοθέντα πρὸς τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν συμφωνήσουσι ταῦτα καὶ σωματικῷ διαβεβαιώσονται ὅρκῳ καὶ ἔγγραφον δὲ τούτων περιεκτικὸν ἐκθῶνται καὶ συνήθως πιστώσονται καὶ τῇ βασιλείᾳ μου ἀποστείλωσι καὶ στέργουσι ταῦτα αἰωνίως αὐτοί τε καὶ οἱ μετ᾽ αὐτοὺς σύμβουλοι καὶ ἐξουσιασταὶ καὶ κόνσουλοι καὶ σενάτωρες καὶ κεφαλαὶ καὶ ῥαίκτορες καὶ αὐτὸ τὸ κοινὸν τοῦ κάστρου καὶ τῆς χώρας τῆς Πίσσης, τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου βεβαίου καὶ ἀρραγοῦς διαμένειν ὀφείλοντος, μέχρις ἂν καθ᾽ ὁλόκληρον συντηρῶσιν οἱ ἀναγεγραμμένοι πάντες τὰ ἀνωτέρω ἀναταχθέντα, γεγενημένου κατὰ τὸν φεβρουάριον μῆνα τῆς παρούσης δεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΕΠΙΚΑΘΗΓΗΤΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δήμος Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006